καὶ τροφῇ καὶ παιδείᾳ ἀξιώματί τε καὶ συνέσει καὶ τό γε πάντων κορυφαιότατον σωφροσύνῃ καὶ τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ διαλάμποντος, τολμᾶν ὥρμητο Μαξιμῖνος θρασύνεσθαι καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ὑπαγορεύειν. ἐπιτείνας δὲ εἰς ἀπόνοιαν μανίας 2
τάς τε συνθήκας, ἃς πρὸς Λικίννιον πεποίητο, παρασπονδήσας, πόλεμον ἄσπονδον αἴρεται. εἶτα ἐν βραχεῖ τὰ πάντα κυκήσας πᾶσάν τε πόλιν ἐκταράξας καὶ πᾶν στρατόπεδον μυρίανδρον τὸ πλῆθος συναγαγών, ἔξεισιν εἰς μάχην πρὸς Λικίννιον, κατά τε αὐτοῦ καὶ τοῦ αὐτὸν στείλαντος Κωνσταντίνου. καὶ δὴ συμβαλὼν εἰς χεῖρας, ἔρημος τῆς ἐκ θεοῦ καθίσταται ἐπισκοπῆς, ἐξ αὐτοῦ τῆς νίκης τοῦ πάντων μόνου θεοῦ πρυτανευθείσης τῷ τότε κρατοῦντι Κωνσταντίνῳ. ἀπ- 3
όλλυσι μὲν πρῶτον τὸ ἐφ' ᾧ ἐπεποίθει ὁπλιτικὸν πλῆθος ὁ ἀλιτήριος, τῶν τε ἀμφ' αὐτὸν δορυφόρων γυμνωθεὶς καὶ πάντων ἔρημον αὐτὸν καταλελοιπότων τῷ τε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον, δειλῶς καὶ δυσγενῶς καὶ ἀνάνδρως ἀποδύς, ὑποδύνει τὸ πλῆθος, καὶ ἔπειτα διαδιδράσκει κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας μόλις τῶν πολεμιστῶν τὰς χεῖρας διέξεισι, τὰ τῆς σωτηρίας αὐτῷ προμνώμενος. ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ 4
ἀληθεῖς τοὺς θείους ἀποφῆναι ἔνεστιν ὧδε χρησμούς, ἐν οἷς εἴρηται· »οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν.« ὁ δὲ δυσσεβὴς ἀθρόᾳ θεοῦ πληγεὶς μάστιγι ἐν δευτέρᾳ πολέμου συμβολῇ καταστρέφει τὸν βίον.

Γίνεται δὲ αὐτῷ τὰ τῆς καταστροφῆς, οὐχ οἷα στρατηγοῖς 5
πολεμάρχαις ὑπὲρ ἀρετῆς καὶ γνωρίμων πολλάκις ἀνδριζομένοις

21 Psal. 32, 16—19 — **26**—S. **16, 3** vgl. Eus. H. E. IX 10 p. 846, 11—848, 15

A¹H V¹P³ M²P¹P²

1 f *τῷ γε πάντων κορυφαιοτάτῳ* Eus. **4** *ἀναγορεύειν* Eus. **6** *αἴρεται* Eus.] *αἴρει* A¹H *αἱρεῖται* d. übr. HSS | *τὰ* > M² | *κυκήσας*] *συνήσας* M² **6 f** *πᾶσάν τε*] *καὶ πᾶσαν* A¹ (gegen Eus.) **12** *ᾧπερ* V¹ **13** *ἀμφ' αὐτὸν*] *ὑπ* oder *ὑφ αὐτοῦ* H **14** *τε* > P² | *προσπεφευγόντων* M² **16** *δυσγενῶς* A¹H (Eus.) *δυσμενῶς* d. übr. HSS **17** *διαδράσκει* HA¹ (aber von späterer Hd. corr. in *διαδιδράσκει* A¹) **19** *αὐτῷ* von späterer Hd. corr. in *ἑαυτῷ* A¹ | *ἔργοις* + *οὖν* H **24** *τοὺς φοβουμένους* (aber corr. aus *τοῖς φοβουμένοις*) A¹H Eus. *τοῖς φοβουμένοις* M²P¹P² V¹P³ **27** *πολέμου* > V¹ **28** *τὰ* > A¹H | *ἡ καταστροφή* A¹ **29** *πολεμάρχοις* H

ἐν πολέμῳ τὴν εὐκλεῆ τελευτὴν εὐθαρσῶς ὑπομεῖναι. ἀλλὰ γὰρ ἅπαξ ὢν δυσσεβὴς καὶ θεομάχος, τῆς παρατάξεως ἐν ταὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης οἴκοι μένων αὐτὸς καὶ κρυπταζόμενος τὴν προσήκουσαν τιμωρίαν ὑπέχει, ἀθρόως θεοῦ πληγεὶς μάστιγι, ὡς ἀλγηδόσι δεινῶς καὶ περιωδυνίαις ἐλαυνόμενον πρηνῆ καταπεσεῖν λιμῷ τε διαφθείρεσθαι τάς τε σάρκας αὐτοῦ ὅλας ἀοράτῳ καὶ θεηλάτῳ πυρὶ κατατήκεσθαι· ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι, ξηρῶν δ' αὐτὸ μόνον ὀστέων οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευμένον εἴδωλον ὑπολειφθῆναι· ὡς μηδὲν ἄλλο τι 10 *νομίζειν τοὺς παρόντας ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα ἐν εἴδει νεκρῷ καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγμένης· σφο-* 6 *δρότερον δὲ ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους μυελῶν καταφλεγούσης, προπηδῶσί τε αὐτοῦ τὰ ὄμματα καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα πηρὸν αὐτὸν ἀφιᾶσιν. ὃ δὲ ἐπὶ τούτοις ἀναπνέων* 15 *ἀνθομολογούμενος τῷ κυρίῳ θάνατον ἐπεκαλεῖτο· καὶ τὸ πανύστατον ἐνδίκως ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας ἕνεκα πεπονθέναι ὁμολογήσας ἀφίησι τὴν ψυχήν.*

Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως

Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς μόνος ἔτι λείπων **10** **1**
20 *τῶν τῆς θεοσεβείας ἐχθρῶν, ἁπάντων χείριστος ἀναπέφηνεν, τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως ἐκ θεμελίων αὐτῶν χάριτι τοῦ*

A¹H V¹P³ M²P¹P²

1 *ἐν πολέμῳ* > M²P¹P² *πολέμοις* corr. mit roter Tinte in *πολέμῳ* V¹ **4** *ἀθρόῳ* Brinkm. *ἀθρόᾳ* Eus. | *πληγεὶς θεοῦ* ~ H | *δεινῶς* A¹H *δειναῖς* d. übr. HSS Eus. **5** *περιωδινίαις* P²V¹P³ | *ἐλαυνόμενον* A¹ *ἐλαυνόμενος* d. übr. HSS | *πρηνῆ* A¹ Eus. ATrRBDr *πρηνὴς* H *πρὶν ἢ* M² (wo corr. in *πρινὴς*) P¹P²V¹P³ Eus. T^{c} **8** *ξηρῶν — ὀστέων* nach Text des Euseb (vgl. d. complicierten Apparat dort). Alle Gelasiushss. corrupt: *ξηρὸν δ' αὐτὸν μόνον ὀστέον γεγονέναι* M²P¹P²V¹P³ ebenso + *καὶ* H (Eus. A) | *ξηρῶν δ' αὖ τῶν ὀστέων τοῦ σαρκίου ὑπολελειμμένων εἴδωλον οἷά τι ὑπολειφθῆναι* A¹ **8f** *μακρῷ χρόνῳ* Eus. *νόσῳ μακρᾷ* H *μακρῷ* ohne *χρόνῳ* M²P¹P²V¹P³ **9** *κατεσκηλιτευμένον* HM²P¹P²V¹P³ (Eus. ATcEM) **11** *κατορωρυγμένης* M²P¹ (aber P¹ von 1. Hd. corr. aus *κατορωρυγμένοις*) die meisten Eus. HSS, *κατωρυγμένης* HV¹P³ Eus. T¹BD *κατῶρυγμένης* A¹ (die Correctur von späterer Hd.) **13** *τε*] *δὲ* P²V¹P³ (Eus. *μὲν*) | *λήξεως*] *ἕδρας* A¹ **15** *τὸ πανύστατον* > A¹ **16** *ταῦτα ἐνδίκως* ~ A¹ | *τοῦ* > H **18** Die Capitelüberschrift fehlt in sämtlichen HSS an dieser Stelle und ist erst Z. 20 irrtümlich nach *ἀναπέφηνεν* eingeschoben, aber *ἀνέσεως* statt *ἀνανεώσεως* (Eus.) **19** *μαξιμιανοῦ* H | *ἔτι λείπων* Eus. ABDM *ἐπιλείπων* A¹HV¹P³ Eus. TcER *ἐπιλειπόντων* M²P¹P² **20** *ἐναπέφηνεν* A¹ **21** *ἀνανεώσεως* Eus. *ἀνέσεως* HSS | *τοῦ* > H Eus. (mit Ausnahme von M)

θεοῦ τοῦ παντοκράτορος ἠγείρετο· ὅ τε τοῦ Χριστοῦ λόγος εἰς δόξαν τοῦ τῶν ὅλων θεοῦ διαλάμπων, μείζονα τῆς ἔμπροσθεν ἀπελάμβανε παρρησίαν.

Ταῦτα ἐν ἐνάτῳ τόμῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας ὁ πάντα 2
ἄριστος συντέταχεν ὁ Παμφίλου Εὐσέβιος· τῶν γὰρ αὐτοῦ πόνων, ὡς ἀνωτέρω μοι εἴρηται, καὶ τῶν ἄλλων τὴν ἀνάλεξιν ποιούμενος τοῦ βιβλιδίου τούτου διὰ βραχέων ἐγχαράττω τὴν σύνταξιν, πλείστῃ ὅσῃ σπουδῇ τὴν πορείαν τοῦ λόγου ποιούμενος ἐπὶ τὸ ὑψηλὸν καὶ λαμπροφανὲς ἅγιον καὶ θεῖον ὄρος τῆς κατὰ Νίκαιαν ἀποστολικῆς καὶ ἐναρέτου τῶν τοῦ θεοῦ ἱερέων συνόδου· ὁρῶν μάλιστα τὸν προφήτην κρατοῦντά με τῆς χειρὸς καὶ προτρέποντα· »δεῦρο, 3
φησίν, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἰερουσαλήμ«. ἀληθῶς γὰρ Σιὼν καὶ Ἰερου- 4
σαλὴμ καὶ ὄρος κυρίου ὑψηλότατον καὶ οἶκος τοῦ θεοῦ Ἰακὼβ ὁ θεῖος ἐκεῖνος τῶν τοῦ θεοῦ ὀρθοδόξων ἱερέων ὅμιλος, πνεύματι ἁγίῳ διασκεψαμένων καὶ παραστησάντων διά τε γραφῶν προφητικῶν καὶ εὐαγγελικῶν καὶ ἀποστολικῶν »περὶ τοῦ λόγου τῆς ζωῆς« τοῦτ' ἔστι τοῦ υἱοῦ τοῦ θεοῦ, ὡς ἀληθῶς ἄκτιστος τῇ τῆς θεότητος φύσει καὶ οὐ κτίσμα, καθὼς ὁ θεομάχος καὶ ἀσεβέστατος κατ' αὐτοῦ ἐβλασφήμησεν Ἄρειος, καὶ ὅτι τῆς αὐτῆς οὐσίας, ἧς καὶ ὁ γεννήσας αὐτὸν πρὸ τῶν αἰώνων ἁπάντων ὑπάρχει πατὴρ καὶ τοῦ αὐτοῦ χρήματος· ὁμοίως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον τῆς αὐτῆς θεότητος καὶ οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱός, σαφέστατα ἔδειξαν. καὶ ἀληθῶς 5
ὑψηλὸν ὄρος θεοῦ ἄνωθεν ἡμῖν, καθὰ προεδήλωσεν ὁ λόγος παρ' αὐτοῦ τοῦ κυρίου διὰ τῶν ἀποστόλων δοθεὶς καὶ νῦν διὰ τῶν αὐτοῦ ἱερέων κατὰ τὴν Νικαέων γραφικαῖς μαρτυρίαις τρανωθεὶς ὁ προσκυνητὸς οὗτος καὶ ἅγιος τῆς ἀμωμήτου πίστεως ὅρος· περὶ οὗ σαφέστερον ἡμῖν συνεργείᾳ τῆς τοῦ θεοῦ χάριτος προϊὼν ἀποδείξει ὁ λόγος.

11 vgl. Psal. 72, 23. Jes. 2, 3 — **19** I Joh. 1, 1

A¹H V¹P³ M²P¹P²

2 *μείζονος* H **3** *παρ*^{ορη}*ουσίας* H *παρρησίας* Eus. D **5** *συντεταχώς* P³ **7** *τὴν σύνταξιν ἐγχαράττω* ∾ A¹ **8** *ποιοῦμαι* H **9** *καὶ θεῖον* am Rand nach *ὄρος* eingefügt H **10** *συνόδων* P³ **11** *με*] *μετὰ* M²P¹P²P³ **14** *πορευσώμεθα* P²P³ **15** *κυρίου*] *καὶ* P³ > M² **25** *καὶ ὁ υἱός* > V¹ | *ὁ*² > M² **26** *καθὰ*] *καθὼς* H **30f** *ὁ λόγος ἀποδείξει* ∾ A¹

Ἀλλ᾽ ἐπὶ τὴν προκειμένην ἡμῖν τῆς ἐκκλησιαστικῆς ἱστορίας 6
ὑπόθεσιν ἐπανέλθωμεν, ἐπαναλαβόντες τὰ περὶ τῆς τοῦ βασιλέως
θεοῦ εἰς τὸν αὐτοῦ λαὸν ἀντιλήψεως καὶ τῆς τῶν τυράννων
καταστροφῆς διὰ τοῦ θεράποντος αὐτοῦ τοῦ θεοφιλοῦς Κωνστα-
τίνου τοῦ βασιλέως, ἣν δι᾽ αὐτοῦ εἰρήνην ἐπρυτάνευσε ταῖς κατὰ
τὴν οἰκουμένην αὐτοῦ ἐκκλησίαις ὁ μόνος »μέγας κύριος ὁ ποιῶν 7
θαυμάσια μεγάλα μόνος καὶ ἀνεξιχνίαστα, ὧν οὐκ ἔστιν
ἀριθμός· ὁ ἀλλοιῶν καιροὺς καὶ χρόνους, μεθιστῶν βασι-
λεῖς τε καὶ καθιστῶν, ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ
κοπρίας ἀνυψῶν πένητα. καθεῖλε δυνάστας ἀπὸ θρόνων,
καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ
πλουτοῦντας ἐξαπέστειλε κενούς, καὶ βραχίονας ὑπερηφά-
νων συνέτριψεν« ὁ θαυματουργός, ὁ μεγαλουργός, ὁ τῶν ὅλων
δεσπότης, ὁ τοῦ σύμπαντος κόσμου δημιουργός, ὁ παντοκράτωρ, ὁ
πανάγαθος, ὁ εἷς καὶ μόνος θεός, ᾧ τὸ καινὸν ἆσμα ἀναπέμπομεν
προσυπακούοντες »τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς
τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· τῷ πατάξαντι βασιλεῖς μεγά-
λους καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ· ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη
ἡμῶν ὁ κύριος«. ἐφ᾽ οἷς ἅπασιν ἀνυμνοῦντες μὴ διαλείψωμεν τὸν 8
τῶν ὅλων θεόν, καὶ τὸν τούτου μονογενῆ υἱὸν Ἰησοῦν Χριστὸν τὸν
κύριον ἡμῶν, τὸν σὺν τῷ πατρὶ πάντων ἡμῖν τῶν ἀγαθῶν αἴτιον,
τὸν τῆς θεογνωσίας αὐτοῦ εἰσηγητὴν ἡμῶν, τὸν τῆς εἰς αὐτὸν
εὐσεβείας διδάσκαλον, τὸν τῶν ἀσεβῶν ὀλετῆρα, τὸν τυραννοκτόνον,
τὸν τοῦ βίου διορθωτήν, τὸν τῶν ἀπεγνωσμένων σωτῆρα Ἰησοῦν
ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ πάντες δοξάζωμεν, ὅτι δὴ μόνος, οἷα 9
παναγάθου πατρὸς * * * βουλῇ τῆς πατρικῆς καὶ ἑαυτοῦ καὶ τοῦ
ἁγίου πνεύματος φιλανθρωπίας τῶν κάτω που κειμένων ἐν φθορᾷ

6—S. **18**, 2 vgl. Eus. H. E. X 4 p. 865, 5—866, 7 — **6** Psal. 47, 2. 71, 18 — **7** Hiob 5, 9. 9, 10 — **8** Dan. 2, 21 — **9** Psal. 112, 7 — **10—12** Luk. 1, 52—53 — **12** Hiob 38, 15 — **15** Psal. 97, 1 — **16—20** Psal. 135, 4. 17. 18. 23

A^1H V^1P^3 $M^2P^1P^2$

1—3 nicht alles mehr von 1. Hd. A^1 **3** *αὐτὸν* V^1P^3 **6** *μέγας* nachträgl. eingefügt H **9** *καὶ*^{1} > A^1H **10** *ἀνυψῶν*] *ἀνιστῶν* $M^2P^1P^2$ (Eus. *ἀνιστῶν* ATFRMΣ *ἀνυψῶν* BD) | *πένητας* + *ὃς* A^1 **13** *ὁ μεγαλουργός* > H **17** *τῷ* — **19** *αὐτοῦ* > H **20** *ἡμῶν* > H **21** *υἱὸν μονογενῆ* ~ H **22** *τῷ* > H **26** *ἐν* > V^1 | *δοξάζοντες* H **27** In den HSS eine Lücke anzunehmen; bei Eus. steht *πατρὸς* + *μονώτατος ὑπάρχων παναγάθου παῖς*. In A^1 von später Hd. interpoliert *υἱὸς βουλῇς* P^2

τὴν σωτηρίαν ἡμῶν προμηθούμενος, εὖ μάλα τὴν ἡμετέραν ὑποδὺς φύσιν, καθάπερ τις ἄριστος ἰατρὸς τὰς ἀσθενείας ἡμῶν ἀναλαβὼν καὶ τὰς νόσους φέρων, καὶ τότε καὶ ἀεὶ σωτηρίαν καὶ ζωὴν τῷ τῶν ἀνθρώπων κατειργάσατο γένει. ὃς δὴ βασιλεὺς βασιλέων καὶ τοῦ ἰδίου λαοῦ ἀεὶ προμηθούμενος τὸν αὐτῷ φίλον καὶ θεράποντα ἴδιον Κωνσταντῖνον τοῖς τῆς εἰς αὐτὸν εὐσεβείας καὶ πίστεως ὅπλοις φράξας κατὰ τῶν ἀσεβῶν τυράννων, τοῦ τε κατὰ Ῥώμην Μαξεντίου καὶ τοῦ κατὰ τὴν ἀνατολὴν Μαξιμίνου, ἀνεγήγερκεν· οὓς δι' αὐτοῦ ἀνελὼν φαιδρὰν καὶ βαθεῖαν εἰρήνην τῷ οἰκείῳ λαῷ ἀποδέδωκεν. 10

Περὶ τῆς Λικιννίου κακοτροπίας.

Οὐκ ἦν δὲ ἄρα, φησὶν ὁ Παμφίλου Εὐσέβιος, τῷ μισοκάλῳ φθόνῳ τῷ τε φιλοπονήρῳ δαίμονι φορητὸς ἡ τῶν ὁρωμένων θέα, ὥσπερ οὖν οὐδὲ Λικιννίῳ μετατραπέντι [ὥσπερ] ἐτύγχανεν αὐτάρκη πρὸς σώφρονα λογισμὸν τὰ τοῖς ἔμπροσθεν δεδηλωμένοις τυράννοις συμβεβηκότα, ὃς εὐφραινομένης αὐτῷ τῆς ἀρχῆς, τῆς βασιλέως τοῦ μεγάλου Κωνσταντίνου δευτερεύων τιμῆς ἐπιγαμβρίας τε καὶ συγγενείας ἠξιωμένος, μιμήσεως μὲν τῆς τῶν καλῶν ἀπελιμπάνετο, τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθηρίας ἐζήλου τὴν κακοτροπίαν καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀφθαλμοῖς, τούτων ἔπεσθαι τῇ γνώμῃ μᾶλλον ἢ τῇ τοῦ κρείττονος φιλίᾳ τε καὶ διαθέσει ἠβούλετο. διαφθονηθεὶς τοιγαροῦν τῷ πανευεργέτῃ, πόλεμον δυσαγῆ καὶ δεινότατον πρὸς αὐτὸν ἐκφέρει, οὐ φύσεως νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν οὐχ αἵματος οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ λαβών. ὁ μὲν γὰρ αὐτῷ οἷα πανάγαθος βασιλεὺς εὐνοίας παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς αὐτὸν οὐκ ἐφθόνησε γάμων τε λαμπρῶν ἀδελφῆς μετουσίαν οὐκ ἀπηρνήσατο. καὶ μεθ' ἕτερα· ἀλλὰ τούτοις τἀναντία Λικίννιος διεπράττετο, παντοίας ὁσημέραι κατὰ 11 1 2 3 4

2 vgl. Jes. 53, 4 — **11—26** vgl. Eus. H. E. X 8 p. 892, 1—16 — **26**—S. **19**, **2** vgl. Eus. a. a. O. 20—23

A¹H V¹P³ M²P¹P²

1 *μάλα* + *προθύμως* Eus. **6** *εὐσεβείας καὶ* am Rand nachträglich eingefügt H | *πίστεως καὶ εὐσεβείας* ∾ V¹ **7** vgl. S. 19, 7. 22, 7 **12** *φορητὴ* H wie Eus. R [Vita Const. 30, 23] **13** *μετατραπέντι ὥσπερ* > Eus. **15** *εὐφραινομένης* A¹M²P¹P²V¹P³ *εὐθυνομένης* H (Eus. *εὖ φερομένης*) **20** *τὴν γνώμην* V¹P³ **22** *νόμου* H *νόμον* P³ **23** *ὁρκομοσιῶν* M²P¹P²V¹P³ | *οὐ*] *οὐχὶ* H **25** *σύμβολον* H | *αὐτὸν* von 1. Hd. corr. aus *αὐτὸ* P² | *τε*] *τὰς* P³ **27** *τἀναντία* > P² | *ὁσημέραι*] *ὡς ἡμέραι* V¹

τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος ὁ μισόθεος, πάντας ἐπινοῶν ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην ἀμείψηται.

Οἷς ἐπιλέγει· τῷ δὲ ἄρα ἦν ὁ θεὸς φίλος κηδεμὼν καὶ φύλαξ, τῷ Κωνσταντίνῳ λέγω, ὃς αὐτῷ τὰς ἐν ἀπορρήτῳ καὶ σκοτεινῷ μηχανευομένας ὑπὸ τοῦ τυράννου συμβουλίας εἰς φῶς ἄγων διήλεγχε. τοσοῦτον ἀρετή, τὸ μέγα τῆς θεοσεβείας ὅπλον, πρὸς ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυλακὴν σωτηρίας ἰσχύει. ὧν δὲ πεφραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς Κωνσταντῖνος τῇ ἐκ τοῦ θεοῦ βοηθείᾳ τὰς τοῦ δυσωνύμου πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν. ὁ δὲ τύραννος τὴν λαθραίαν συσκευὴν ὡς οὐδαμῶς ἑώρα κατὰ γνώμην αὐτῷ χωροῦσαν, τοῦ θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ κατάφωρα ποιοῦντος, οὐκ ἔτι οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ λοιπὸν πόλεμον αἱρεῖται. ὁμόσε δὴ κατὰ Κωνσταντίνου πολεμεῖν διαγνούς, ἤδη καὶ κατὰ τοῦ θεοῦ τῶν ὅλων ὡς φρουροῦ Κωνσταντίνου, ὃν ἠπίστατο σέβειν αὐτόν, παρατάττεσθαι ὥρμηται· καὶ ἔπειτα τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς ἤλαυνε. καὶ μεθ' ἕτερα· καὶ ὁ τρόπος δὲ τοῦ κατ' αὐτῶν φθόνου ξένος τις ἦν καὶ οἷος οὐδεπώποτε ἠκούσθη. τὰς γοῦν ἀμφὶ τὴν Ἀμάσειαν καὶ τὰς λοιπὰς τοῦ Πόντου πόλεις ὅσοις κακοῖς πιέζεσθαι προσέταξε, πᾶσαν ὑπερβολὴν ὠμότητος ὑπερηκόντισεν. ἔνθα τῶν ἐκκλησιῶν τοῦ θεοῦ αἱ μὲν ἐξ ὕψους εἰς ἔδαφος αὖθις κατερρίπτοντο, τὰς δὲ ἀποκλείεσθαι ἐκέλευσεν, ὡς ἂν μὴ συνάγοιτό τις τῶν εἰωθότων μηδὲ τῷ θεῷ τὰς ὀφειλομένας εὐχὰς καὶ λατρείας ἀποδίδωσι. συντελεῖσθαι γὰρ οὐχ ἠγεῖτο ὑπὲρ αὐτοῦ ταύτας — πῶς γὰρ οἷόν τε ἦν τοῦτο ἐννοεῖν τὸν μισόθεον — φαύλῳ συνειδότι τοῦτο λογιζόμενος, ὑπὲρ δὲ Κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως πράττειν

3—16 vgl. Eus. a. a. O. p. 892, 25—894, 10 — **16**—S. **20, 2** vgl. Eus. a. a. O. p. 896, 31—898, 9

A^1H V^1P^3 $M^2P^1P^2$

3 ἄρα ἦν ὁ θεὸς A^1H ἄρα ὁ θεὸς ἦν Eus. ἦν ἄρα ὁ θεὸς d. übr. HSS **4** λέγω, aber durch Rasur corr. aus λέγων A^1 λέγω H λέγων d. übr. HSS **6** ἀρετή, τὸ wie Eus. T^c ἀρετῆς τὸ die meisten Eus. HSS | θεοσεβείας] εὐσεβείας $M^2P^1P^2$ | μὲν > P^2 **7** ὧν δὲ wie Eus. B, nur H hat ᾧ δὴ wie Eus. AM τῶν δὲ P^3 **8** τοῦ > V^1 **10** αὐτῷ A^1H Eus. > die übr. HSS **11** θεοφιλεῖ + βασιλεῖ H Eus. **12** κατάφορα P^3 Eus. BDM | λοιπὸν > $V^1P^3M^2P^1P^2$ Eus. **13** αἱρεῖται] αἴρεται Eus. | ὅμως ἔδει κατὰ A^1 (wo aber erst im Text und dann auch am Rand von späterer Hd. corr. in ὁμόσε δὴ κατὰ), $M^2P^1P^2V^1P^3$ ὅμως ἤδη κατὰ H ὁμόσε δῆτα Eus. | Κωνσταντίνῳ V^1 Eus. Κωνσταντίνου d. übr. HSS **17** αὐτὸν $M^2P^1P^2V^1$ (aber viell. in Correctur), P^3 Eus. TER M^c | φθόνου HSS geg. Eus. φόνου **20** τοῦ θεοῦ > V^1 **21** συναγάγοιτο H Eus. BD **23** ἀποδίδωσι HSS (ἀποδιδῶσι A^1) ἀποδιδῷ Eus. **24** θεομισῆ A^1 θεόμισον H **25** λογιζόμενος corr. in λογιζόμενον A^1

ἡμᾶς καὶ τὸν θεὸν ἱλεοῦσθαι ἐπέπειστο. ὅθεν, ἐκ τούτου παρορμηθείς, τὸν θυμὸν καθ' ἡμῶν ἐπισκήπτει. καὶ μετὰ βραχέα· καὶ δὴ ἀπήγοντο πολλοὶ τῶν ἐπισκόπων καὶ ἐκολάζοντο ἀπροφασίστως ὁμοίως τοῖς μιαιφόνοις οἱ μηδὲν ἠδικηκότες, καινοτέραν ὑπομένοντες τελευτήν, ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατακρεουργούμενοι καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικτοτάτην θέαν τοῖς τῆς θαλάσσης βυθοῖς τοῖς ἰχθύσιν εἰς βορὰν ἐρρίπτοντο. φυγαὶ δὲ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἁπάντων ὁμόσε ἀνδρῶν καὶ γυναικῶν σὺν κομιδῇ νηπίοις ἐγίνοντο, καὶ πάλιν ἀγροὶ καὶ πάλιν ἐρημίαι νάπαι τε καὶ ὄρη τοὺς τοῦ Χριστοῦ θεράποντας ὑπεδέχοντο, κατὰ πάντων ἀνακινήσαντος τοῦ δυσσεβοῦς τὸν πόλεμον. 10

Καὶ μετὰ βραχέα· εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὁ τῶν ψυχῶν ὑπεράγαθος θεὸς ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ ζοφωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως καὶ σωτῆρα τοῖς πᾶσιν ἐξέλαμψε, τὸν αὐτοῦ θεράποντα Κωνσταντῖνον ὑψηλῷ βραχίονι γενναιοτάτῃ δὲ χειρὶ χειραγωγήσας. 12

Τούτῳ μὲν οὖν ἄνωθεν ἐξ οὐρανῶν καρπὸν εὐσεβείας ἐπάξιον τρόπαια κατὰ τῶν ἀσεβῶν παρεῖχε νίκης, τὸν δὲ ἀλιτήριον αὐτοῖς συμβούλοις ἅπασι καὶ φίλοις ὑπὸ τοῖς Κωνσταντίνου ποσὶ πρηνῆ κατέβαλεν ὁ Κωνσταντίνου καὶ πάντων ἡμῶν θεός. ὡς γὰρ εἰς ἔσχατα μανίας τὰ κατ' αὐτὸν ἤλαυνεν, οὐκ ἀνεκτὸν εἶναι λογισάμενος βασιλεὺς Κωνσταντῖνος ὁ τῷ θεῷ φίλος τὸν ἔμφυτον σώφρονα καὶ εὐσεβῆ συναγαγὼν λογισμὸν καὶ τὸ στερρὸν τοῦ δικαίου τρόπαιον φιλανθρωπίᾳ κερασάμενος, ἐπαμῦναι κρίνει τοῖς ὑπὸ τῷ τυράννῳ ταλαιπωρουμένοις, καὶ τό γε πλεῖστον ἀνθρώπων γένος, βραχεῖς λυμεῶνας ἐκποδὼν ποιησάμενος, ἀνασώσασθαι ὁρμᾶται. μόνῃ γὰρ αὐτῷ χρωμένου φιλανθρωπίᾳ τῷ δυσσεβεῖ τοῦ φιλανθρωποτάτου βασιλέως Κωνσταντίνου τὸν πρὸ τούτου χρόνον καὶ τὸν οὐ συμπαθείας ἄξιον ἐλεοῦντος, τῷ μὲν ἐγίνετο πλέον οὐδέν, τῆς κακίας οὐκ ἀπαλλαττομένῳ, αὔξοντι δὲ μᾶλλον τὴν κατὰ τῶν ὑποχειρίων ἐθνῶν 13 14 15

2—10 vgl. Eus. a. a. O. p. 898, 12—19 — **12—S. 21, 11** vgl. Eus. a. a. O. p. 898, 22—900, 16

A¹H V¹P³ M²P¹P²

5 *κρεουργούμενοι* M²P¹P² **6** *φρικτωτάτην* HP² **9** *πάλιν*² > M²P¹P² **11** *δυσεβοῦς* M² *δυσεβοῦς* corr. von 1. Hd. in *δυσσεβοῦς* P² **13** *τῶν* + *οἰκείων* Eus. | *ὑπεράγαθος* HSS (viell. durch Lesefehler aus) *ὑπέρμαχος* Eus. **15** *δὲ*] *δὴ* H **17** *οὖν* > P² **19** *πρηνῆ*] *πρινῆ* V¹ Eus. T¹BD corr. T² *πρὶν ἦν* P³ **23** *τὸν στερρὸν τοῦ δικ. τρόπον* Eus. **26** *ὥρμηται* M²P¹P² **27** *χρωμένῳ* Eus. | *τῷ* — **28** *Κωνσταντίνου* > Eus. **29** *ἐλεοῦντι* Eus. | *οὐκ* > V¹

λύτταν, τοῖς δὲ κακουμένοις οὐδεμία ἦν σωτηρίας ἐλπίς, ὑπὸ δεινοῦ θηρίου καταπονουμένοις. διὸ δὴ τῷ φιλανθρώπῳ μίξας τὸ μισο- 16
πόνηρον ὁ τῶν ἀγαθῶν χορηγὸς πρόεισιν ἅμα παιδὶ Κρίσπῳ βασιλεῖ φιλανθρωποτάτῳ ἀπὸ τῆς ἑσπερίων [τῆς] μεγίστης Ῥώμης ἐπὶ τὴν ἑῴαν κατὰ τοῦ τυράννου, σωτηρίας δεξιὰν ἅπασι τοῖς ἀπολλυμένοις ἐκτείνας· παμβασιλεῖ θεῷ καὶ παιδὶ Χριστῷ σωτῆρι ποδηγῷ καὶ συμμάχῳ χρώμενοι, πατὴρ Κωνσταντῖνος βασιλεὺς ἅμα υἱῷ βασιλεῖ Κρίσπῳ ἄμφω κύκλῳ διελόντες τὴν κατὰ τῶν θεομισῶν παράταξιν, ῥᾳδίαν τὴν νίκην ἀποφέρονται, τῶν κατὰ τὴν συμβολὴν πάντων ἐξευμαρισθέντων αὐτοῖς καὶ κατὰ γνώμην τοῦ παμβασιλέως θεοῦ, καθά φησιν ὁ φιλαληθέστατος Εὐσέβιος ὁ τοῦ πανευφήμου Παμφίλου.

Ῥουφῖνος δὲ φησὶν — εἰ καὶ μηδεμίαν μοῖραν τῶν γεγενημένων ἐπὶ 17
Λικιννίου πραγμάτων ἐμνημόνευσεν, ὅμως καὶ αὐτὰ τὰ λεξίδια τοῦ προρρηθέντος ἀναλεξάμενος ἐνθήσω τῇ συγγραφῇ — φησὶ δὲ οὗτος· Λικίννιος μὲν οὖν ὁ συμβασιλεύων αὐτῷ, δηλονότι τῷ θεοφιλεῖ Κωνσταντίνῳ, τὰς Ἑλληνικὰς ἔχων δύξας ἐμίσει Χριστιανούς· καὶ διωγμὸν μὲν προφανῆ κατ᾽ αὐτῶν φόβῳ τοῦ βασιλέως Κωνσταντίνου κινεῖν ὑπεστέλλετο, λεληθότως δὲ πολλοὺς ἐσκευωρεῖτο. προιὼν δὲ φανε- 18
ρῶς τὸν κατὰ πάντων διωγμὸν ἀνεκίνει ἐν τοῖς τῆς ἀνατολῆς τόποις, ὡς καὶ πολλοὺς τοῦ Χριστοῦ μάρτυρας ἀναδειχθῆναι ἐν διαφόροις τόποις· ἐκ δὴ τούτου εἰς ἀπέχθειαν τὴν πρὸς αὐτὸν μείστην τὸν βασιλέα Κωνσταντῖνον ἐκίνησεν. ἦσαν δὲ πρὸς ἀλλήλους πολέμιοι. ταῦτα μὲν οὗτος.

Οἱ δὲ λοιποί, ὅσοι τῆς Εὐσεβίου τοῦ Παμφίλου ἀληθείας συν- 19
ήγοροι, διελόντες, φασίν, ἄμφω τὴν στρατιὰν πατὴρ Κωνσταντῖνος βασιλεὺς καὶ υἱὸς Κρίσπος βασιλεὺς κατὰ τοῦ ἀσεβοῦς τυράννου ὥρμηντο, ὁ μὲν οὖν υἱὸς Κρίσπος ἐπὶ τὰ κατὰ τὴν Ἀσίαν μέρη τῇ σὺν αὐτῷ στρατιᾷ τὴν πορείαν ποιούμενος, ὁ δὲ πατὴρ Κωνσταντῖνος κατὰ τῆς Εὐρώπης τοῖς ἀμφ᾽ αὐτὸν δορυφόροις τὴν ὁδὸν διήνυεν. ὁ δὲ μισόθεος καὶ πάσης ἀσεβείας καὶ μιαιφονίας ἔμπλεως 20

12 vgl. Socr. I 3, 1. 2 p. 7f und I 4, 1 p. 9; s. o. S. 7, 20 — **30** Über das Verhältnis von Licinius und Euseb vgl. auch die Vita Constantini des Cod. Angelic. A in Philostorgius ed. Bidez p. 180 und XCVI

A¹H V¹P³ M²P¹P²

3 *πρόεισιν* H Eus. *πρόσεισιν* die übr. HSS **5** *σωτηρίαν* P² **6** *Χριστῷ*] *χρηστῷ* P² *κυρίῳ* M² **8** *διελθόντες* A¹H geg. Eus. **10** *καὶ* tilgt Pasquali **11** *πανευφήμου* > P² **12** *φησὶν* > H **15** *οὖν* > P² | *θεοφιλεῖ* A¹ *βασιλεῖ θεοφιλεῖ* H *βασιλεῖ* d. übrigen HSS **17** *κινεῖν*] *κοινὴν* P² **18** *λελυθότως* M²P¹ **19** *τὸν*] *τῶν* M² **25** *φασὶν*] *κατὰ* A¹ (Ceriani: *φασὶν* — sic per compendium 1. m., 2. m. *κατὰ*), *φησὶν* HM²P¹P²V¹P³ | *στρατείαν* A¹ **27** *υἱὸς* > P² **27 f** *σὺν τῇ αὐτῷ* ∾ M²P¹P²V¹P³

ἐξ ἀνατολῶν μετὰ πλείστου ὅσου στρατοῦ κατ᾽ αὐτῶν παρατατόμενος καὶ μεγαλαυχῶν ἤρχετο· φθάσας δὲ ἐν τῇ Νικομηδέων, ἐγνωκὼς τε καὶ εἰδὼς τὴν τοῦ θεοφιλοῦς Κωνσταντίνου ψυχὴν σέβουσαν τοὺς τοῦ θεοῦ ἱερεῖς καὶ ὅτι διὰ πάσης ἄγοι τιμῆς, μισθοδοτεῖ τὸν τῆς Νικομηδέων ἐπίσκοπον Εὐσέβιον πάλαι πρόσφυγα αὐτοῦ ὄντα κατὰ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου, οἰόμενος δι᾽ αὐτοῦ καὶ τῶν ἀμφ᾽ αὐτὸν ἀνελεῖν τὸν τοῖς τοῦ θεοῦ πεφραγμένον ἀκαταμαχήτοις ὅπλοις Κωνσταντῖνον. συντίθεται οὖν αὐτῷ ὁ θαυμάσιος Εὐσέ- 21
βιος, ἐπαγγελίαις λιπαρηθεὶς παρὰ τοῦ συνασεβοῦς αὐτοῦ Λικιννίου.

Καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἐξ αὐτῆς τοῦ φιλοχρίστου βασιλέως ἐπιστολῆς ἔνεστι πληροφορηθῆναι, ἧς τοῖς Νικομηδεῦσιν ἐπέστειλεν, ὧδέ πως λέγων πρὸς τῷ τέλει τῆς ἐπιστολῆς·

»Τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος; Εὐσέβιος 22
»δηλαδὴ ὁ τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ
»τοῦ τυράννου γεγένηται προσφύλαξ, πολλαχόθεν ἔστι συνορᾶν. τοῦτο
»μὲν αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν ἀληθῶς
»ἐπισκόπων, τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν Χριστιανῶν ἐκδίωξις διαρ-
»ρήδην βοᾷ. οὐδὲν γὰρ τῶν εἰς ἐμὲ γεγενημένων παρ᾽ αὐτοῦ νῦν 23
»ἐρῶ, δι᾽ ὧν, ὅτε μάλιστα αἱ τῶν ἐναντίων μερῶν καθ᾽ ἡμῶν ἐπραγ-
»ματεύοντο συνδρομαί, οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ἔπεμπε
»κατ᾽ ἐμοῦ καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν
»ὑπουργίας αὐτῷ χάριν. μηδ᾽ ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων 24
»ἀπόδειξιν ἀπαράσκευον· ἔλεγχος γάρ ἐστιν ἀκριβής, ὅτι τοὺς πρεσβυ-
»τέρους καὶ τοὺς διακόνους τοὺς Εὐσεβίῳ παραπεμπομένους φανερῶς
»ὑπ᾽ ἐμοῦ συνειλῆφθαι συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρ᾽ ἡμῶν
»νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ᾽ εἰς αἰσχύνην ἐκείνων προενή-
»νεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο διαλογίζομαι, ὅτι ὑμᾶς ὁρῶ πρὸς
»τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν· διὰ γὰρ τῆς Εὐσεβίου

13—S. **24,18** vgl. unten Anhang Nr. I (= Gel.²) und Theodoret H. E. I 20 ff p. 66 ff

A¹H V¹P³ M²P¹P²

3 *τε* A¹ > die übr. HSS **4 f** *τῶν — ἐπισκόπων* A¹ **6** *τῶν*] *τὸν* P² **8** *θαυμάσιος* A¹H *θαυμαστὸς* d. übr. HSS **9** *ἐπαγγελίας* M² | *αὐτοῦ*] *αὐτῷ* M²P¹P² **11** *ἧς*] *ἣν* corr. in *ἣν* M² *ἣν* P¹ | *ἐπέστελλεν* P³ **12** *ὧδε — 13 ἐστιν* > H aber am Rand ξ (viell. ζήτει Holl) **14** *ὁ* Thdt. Gel.² > HSS **15** *πρόσφυξ* Thdt. **16** *αἱ τῶν*] *αὐτῶν* H **18** *οὐδὲ* H | *γὰρ* + *περὶ* H Thdt. **20** *συνδρομέναι* P³ | *οὗτος* corr. aus *οὕτως* A¹ **22** *αὐτῷ χάριν* > Thdt. Gel.² **24** *εὐσεβίου* A¹ | *παραπεμπομένους* HSS, *παρεπομένους* Thdt. Gel.² **25** *παρέστηκεν* V¹ | *ἀλλὰ — 26 ἕνεκεν* > M²P¹P² **25 f** *μὲν παρίημι ἃ νῦν* Thdt. Gel.² **27** *ἐκεῖνο*¹ + *δὲ* A¹ Thdt. T **28** *τῆς* + *τοῦ* A¹

»διαγωγῆς τε καὶ διαστροφῆς συνείδησιν κεχωρισμένην τῆς ἀληθείας »εἰλήφατε. ἀλλ᾽ ἔστιν οὐ βραδεῖα θεραπεία, εἴγε ἐπίσκοπον πιστόν 25
»τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες πρὸς θεὸν ἀπίδητε. ὅπερ ἐπὶ »τοῦ παρόντος ἐν ὑμῖν ἐστιν, ὃ καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως
»ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέβιος δεινῇ τῶν τότε συλλα- »βομένων αὐτῷ προαιρέσει ἐνταῦθα ἐληλύθει καὶ τὴν τῆς τάξεως »ὀρθότητα ἀναισχύντως † συνεπεπράχει.

»Ἀλλ᾽ ἐπειδὴ περὶ τοῦ αὐτοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην 26
»ὀλίγα προσῆκε φράσαι, μακροθύμως ἀκούσατε. μέμνηται ἡ ὑμετέρα
»ἀνεξικακία ἐπὶ τῆς Νικαέων πόλεως γεγενῆσθαι σύνοδον ἐπισκόπων, »ἣ καὶ αὐτὸς ἐγὼ πρεπόντως τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ »παρήμην, οὐδὲν ἕτερον βουλόμενος ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι, »καὶ πρὸ πάντων ἐλέγξαι καὶ ἀποσείσασθαι τὸ πρᾶγμα τοῦτο, ὃ τὴν »μὲν ἀρχὴν εἰλήφει διὰ τῆς Ἀρείου τοῦ Ἀλεξανδρέως ἀπονοίας,
»ἰσχυροποιεῖτο δὲ παραχρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας »σπουδῆς. ἀλλ᾽ αὐτὸς οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτα- 27
»τοι, μεθ᾽ ὅσης νομίζετε συνδρομῆς ἅτε δὴ ὑπὸ τῆς συνειδήσεως »αὐτῆς ἡττώμενος, μεθ᾽ ὅσης δὲ αἰσχύνης τῇ πανταχόθεν ἐληλεγμένῃ »ψευδολογίᾳ αὐτοῦ συνίσταται, ὑποπέμπων μέν μοι διαφόρους τοὺς
»ὑπὲρ αὐτοῦ ἀξιοῦντας, ἐξαιτούμενος δὲ παρ᾽ ἐμοῦ συμμαχίαν τινά, »ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι τῆς ὑπαρχούσης αὐτῷ »ἐκπέσοι τιμῆς; μάρτυς ἐστί μοι τούτων αὐτὸς ὁ θεός, ὃς ἐμοί τε 28
»καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι, ὅτι καὶ ἐμὲ αὐτὸς ἐκεῖνος Εὐσέβιος »περιέτρεψε καὶ ἀπρεπῶς ὑφήρπασεν· ἀλλ᾽ ἡ θεία με πρόνοια ἐπὶ τὴν
»ἀληθεστάτην αὐτῆς ὁδὸν ἐπανήγαγεν· ὃ καὶ ὑμεῖς ἐπέγνωτε καὶ ἐπι- »γνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη παρ᾽ αὐτοῦ τότε, Εὐσεβίου τοῦ »ἀνοσίου λέγω, καθὼς αὐτὸς ἐπόθει πᾶν ὁτιοῦν κακὸν ἐπὶ τῆς αὐτοῦ »διανοίας ἀποκρυπτόμενος.

A¹H V¹P³ M²P¹P²

4 *ἡμῖν* P²V¹ | *ἡμετέρας* M²P¹P²P³ **5** *ἠρτῆσαι* H | *τότε*] *τε* A¹H *τότε* V¹ **6** *αὐτῷ* > M²P¹P² vgl. die Thdt.-Überlieferung **7** *συνεπεπράχει* die Corruptel der Thdt.-Überlieferung von Gel. übernommen; vgl. Parmentier zu der Stelle. Balforeus emendiert *συνετεταράχει* **8** *αὐτοῦ* > M² (*αὐτοῦ τοῦ* Gel.²Thdt. nszΩ *αὐτοῦ τούτου* AT) | *ἡμετέραν* HP² **11** am Rand *ὥρα ζῆλον ἀνδρὸς εὐσεβοῦς* H **12** *ἅπασιν* > P¹ | *ἐργάζεσθαι* P² **17** *νομίζεται* P³ **18** *τῇ*] *ἡ* und das folgende *ἐληλεγμένη ψευδολογία* ohne iota subscr. P² **19** *μέν μοι*] *μέντοι* H Thdt. T **23** *φιλάγαθος* H **24** *ἀλλ᾽* — **25** *ἐπανήγαγεν* > Thdt. Gel.² **26** *ἐπράχθη τότε παρὰ εὐσεβίου* H **27** *ἐπεπόθει* H | *ὁτιοῦν* M²P¹

»Ἀλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί 29
»μάλιστα μετὰ Θεογνίου, ὃν τῆς ἀνοσίας αὐτοῦ προαιρέσεως ἔχει
»κοινωνόν, διεπράξατο, ἀκούσατε, παρακαλῶ. Ἀλεξανδρέας τινὰς τῆς
»ἡμετέρας πίστεως ἀναχωρήσαντας ἐνταῦθα κεκελεύκειν ἀποστα-
»λῆναι, ἐπειδὴ διὰ τῆς τούτων ὑπηρεσίας διχονοίας ἠγείρετο πυρ-
»σός. ἀλλ᾽ οὗτοι οἱ καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς 30
»συνόδου ἀλήθεια πρὸς μετάνοιαν τετηρήκει, οὐ μόνον ἐδέξαντο ἐκεί-
»νους καὶ παρ᾽ ἑαυτοῖς ἠσφαλίσαντο, ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς
»τῶν τρόπων κακοηθείας. διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους
»ἔκρινα πρᾶξαι. ἀρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω
»ἐξορισθῆναι. νῦν ὑμέτερόν ἐστι πρὸς τὸν θεὸν ἐκείνῃ τῇ πίστει 31
»βλέπειν ᾗ πάντοτε καὶ γεγενῆσθαι ὑμᾶς καὶ εἶναι πρέπει, καὶ δια-
»πράξασθαι οὕτως, ἵνα ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους καὶ
»φιλανθρώπους ἔχοντες χαίρωμεν. εἴ τις δὲ πρὸς μνήμην τῶν
»λυμεώνων ἐκείνων ἢ πρὸς ἔπαινον ἀπρονοήτως ἐξαφθῆναι τολμήσει,
»παραχρῆμα τῆς ἰδίας τόλμης διὰ τῆς τοῦ θεράποντος τοῦ θεοῦ,
»τοῦτ᾽ ἔστιν ἐμοῦ, ἐνεργείας ἀνασταλήσεται. ὁ θεὸς ὑμᾶς διαφυλάξει
»ἀδελφοὶ ἀγαπητοί«.

Ταῦτα καὶ τὰ τοιαῦτα ἡ τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου 32
ἐπιστολὴ σαφέστατα ἔδειξε περὶ τοῦ ἀσεβοῦς Εὐσεβίου τοῦ Νικο
μηδείας, ὃς προσφύλαξ οὐ μόνον γέγονε τοῦ θεομισοῦς Λικιννίου
ἀλλὰ καὶ συμμύστης καὶ ὑπουργὸς τῆς ἐκείνου τυραννίδος καὶ ἀσεβείας.
βαδιῶ δὲ ἐντεῦθεν ἐπὶ τὴν προκειμένην τῆς ἐκκλησιαστικῆς ἱστορίας
ὑπόθεσιν.

Περὶ τῆς κατὰ τοῦ ἀσεβοῦς Λικιννίου νίκης τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου.

Λικιννίου τοίνυν σὺν στρατιᾷ τῇ σὺν αὐτῷ ἀπὸ τῆς Νικομηδέων 12 1
ἐξορμήσαντος ἐπὶ τὸ Βυζάντιον κατὰ τοῦ θεοφιλοῦς Κωνσταντίνου
τοῦ βασιλέως ἐκεῖσε τότε παρόντος, τῶν δὲ θατέρων στρατιωτικῶν
φαλάγγων τὸν χριστοφόρον βασιλέα ἐν κύκλῳ αὐτῶν ἐχόντων, ἰδὼν
ὁ ἀλιτήριος καὶ τῶν οἰκείων δὲ στρατῶν ἔρημον ἑαυτὸν θεασάμενος

A¹H V¹P³ M²P¹P²

1 *τούτου*] *αὐτοῦ* A¹ Thdt. n **2** *ἀνοσίου* H **3** *ἀλεξανδρείας* P³ **4** *κε-κελεύκει* P² *καὶ κελεύκειν* P³ **6** *ἀγαθοί τε καὶ καλοί* ∽ H **7** *ἐδέξατο* P³ **8** *καὶ · ·παρ᾽ αὐτοῖς* im Text · *·καὶ παρ᾽ ἑαυτοῖς* am Rand V¹ | *ἠσφαλίσατο* P³ **9** *τῶν* > P² **11** *ἡμέτερον* M²P¹P²V¹P³ **12** *βλέπειν* + *ἐν* H | *ἡμᾶς* P²P³ **13** *ἁγνούς*] *ἐγνούς* P³ **16** *τοῦ*² > P² **17** *διαφυλάξαι* M²P¹P² **20** *ἀσεβοῦς*] *εὐσεβοῦς*, aber von späterer Hand corr. V¹ **28** *δὲ θατέρων* A¹H *δ᾽ ἑκατέρων* d. übr. HSS **29** *αὐτὸν* HP² | *ἐχόντων* A¹H (vgl. Index s. v. partic.) *ἐχονσῶν* d. übr. HSS

ἐπὶ τὴν τῶν κρειττόνων ἀσπίδα προσπεφευγότων, τὰ μὲν πρῶτα κρυπτάζεσθαι ἐσπούδαζεν ἐν Χρυσοπόλει τῆς Βιθυνῶν (ἐπίνειον δὲ τοῦτο τῆς Χαλκηδόνος ἐστί) μὴ δυνηθεὶς δέ, ἰδὼν ἑαυτὸν ἤδη πρηνῆ κείμενον ὑπὸ τοῖς Κωνσταντίνου τοῦ βασιλέως ποσίν, ἐξέδωκεν
5 *ἑαυτόν. ζῶντα οὖν συλλαβὼν ὁ ἐπιεικέστατος καὶ εὐσεβέστατος* 2
βασιλεὺς φιλανθρωπεύεται καὶ κτείνει μὲν οὐδαμῶς, οἰκεῖν δὲ τὴν Θεσσαλονίκην προσέταξεν ἡσυχάζοντα. ὁ δὲ πρὸς ὀλίγον χρόνον 3
ἡσυχάζειν ἐδόκει· μετὰ δὲ ταῦτα βαρβάρους τινὰς προσκαλούμενος καὶ σὺν αὐτοῖς διασκεπτόμενος, ἀναμάχεσθαι τὴν ἥτταν ἐσπού-
10 *δαζε. τοῦτο γνοὺς βασιλεὺς ὁ πιστότατος, ἀναιρεθῆναι τὸν θεο-* 4
μισῆ ἐκέλευσε· καὶ ἀνῃρέθη ὁ τοῦ Χριστοῦ καὶ τοῦ αὐτοῦ θεράποντος † τύραννος.

2 vgl. Socr. I 4, 2—4 p. 9

A¹H V¹P³ M²P¹P²

2 *ἐσπούδαξεν* P² **3** *καλχηδόνος* A¹V¹ (wo aber *κ* mit roter Tinte in *χ* corr.) P³, am Rand von späterer Hd. *χαλκιδῶν* M² **4** *τοῖς*] *τῆς* V¹, *τοῖς*, aber corr. aus *τῆς* von 1. Hd. P³ | *τοῦ* > P² **5** *συλλαβὼν*] *λαβὼν* M²P¹P² **8** *προσκαλεσάμενος* H, *προσκαλεσάμενος* mit roter Tinte corr. in *προσκαλούμενος* V¹ **11** *ὁ* ⟨*κατὰ*⟩ *τοῦ Χρ.* Friedl. ⟨*ὑπὸ*⟩ *τοῦ Χρ.* Balf. oder **12** ⟨*ἔχθιστος*⟩ *τύραννος* Ltz. Nach **12** *τέλος τοῦ πρώτου λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας* H *ἐπληρώθη λόγος πρῶτος τῆς ἐκκλησιαστικῆς ἱστορίας* V¹P³

ΛΟΓΟΣ Β̄

ιγ′ *Περὶ τῶν μετὰ τὴν ἀναίρεσιν τοῦ ἀσεβοῦς Λικιννίου καὶ αὐτοκρατορίας τοῦ βασιλέως Κωνσταντίνου καὶ εἰρήνης τῶν τοῦ θεοῦ ἐκκλησιῶν.*

ιδ′ *Περὶ τῆς ἐφευρεθείσης αἱρέσεως ὑπὸ τοῦ θεομάχου Ἀρείου.*

ιε′ *Καθαιρετικὸν Ἀρείου καὶ τῶν σὺν αὐτῷ διαπεμφθὲν παρὰ Ἀλεξάνδρου ἐπισκόπου τοῖς ἁπανταχοῦ ἐπισκόποις.*

ις′ *Ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς Ἀλέξανδρον καὶ Ἄρειον διαπεμφθεῖσα διὰ Ὁσίου ἐπισκόπου Κουρδούβης.*

ιζ′ *Ὅπου ὁ θεοφιλέστατος βασιλεὺς Κωνσταντῖνος σύνοδον ἐπισκόπων ἐπὶ τῆς Νικαέων κελεύει γενέσθαι.*

ιη′ *Ὅπου ὁ βασιλεὺς συνεδρεύει τοῖς ἐπισκόποις.*

ιθ′ *Λόγος Κωνσταντίνου Σεβαστοῦ προσφωνητικὸς πρὸς τὴν ἁγίαν σύνοδον.*

κ′ *Ὅπου τοὺς λιβέλλους τῶν ἐπισκόπων ὁ βασιλεὺς δέχεται.*

κα′ *Περὶ τοῦ ἁγίου Παφνουτίου.*

κβ′ *Περὶ τοῦ ἁγίου Σπυρίδωνος.*

κγ′ *Ὅπου τὴν θυγατέρα αὐτοῦ τεθνεῶσαν ἐγείρει διὰ τὸν ἔμπορον.*

κδ′ *Περὶ τοῦ δεῖν τρεῖς ὑποστάσεις νοεῖν καὶ πιστεύειν ἀχωρίστως ἐπὶ τῆς ἀρρήτου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος μιᾶς θεότητος.*

κε′ *Ὅπου εἷς τῶν φιλοσόφων ὑπὲρ Ἀρείου κατὰ τῆς ἁγίας ἐκείνης τῶν ἀποστολικῶν τοῦ θεοῦ ἱερέων συνόδου πλεῖστα ὅσα ἀποφθέγγεται.*

κς′ *Ἀντίρρησις ἑτέρου φιλοσόφου τοὔνομα Φαίδωνος ποιουμένου καὶ αὐτοῦ τοὺς λόγους ὑπὲρ τοῦ θεομάχου Ἀρείου καὶ τῆς*

1 *λόγος β˜ τῆς ἐκκλησιαστικῆς ἱστορίας* A¹ M²P¹P² V¹P³ (nur daß in all diesen Zeugen außer A¹ *δεύτερος* statt *β˜* ausgeschrieben ist), *λόγος* $\overset{\text{ρος}}{\beta}$ am Rand H. Die Capitel sind ohne Berücksichtigung der Bucheinteilung weiter gezählt und beginnen mit *ιγ′*. Im übrigen vgl. das zu S. 1, 1 Bemerkte.

ἐφευρεθείσης ὑπ᾽ αὐτοῦ βλασφημίας. πρότασις τοῦ φιλοσόφου πρὸς τὴν ἁγίαν σύνοδον εἰς τὸ »ποιήσωμεν ἄνθρωπον«.

κζ᾽ Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας.

κη᾽ Ἔτι ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσταθίου.

κθ᾽ Ἀπόκρισις σύμφωνος τῶν ἁγίων πατέρων.

λ᾽ Ἀντίρρησις τοῦ φιλοσόφου ὑπὲρ Ἀρείου.

λα᾽ Οἱ ἅγιοι ἐπίσκοποι διὰ Ὁσίου ἐπισκόπου πόλεως Κουρδούβης ἑρμηνεύοντος αὐτὸν ἑτέρου εἶπον.

λβ᾽ Ἀντίρρησις τοῦ φιλοσόφου.

λγ᾽ Ἀπόκρισις τῆς ἁγίας συνόδου διὰ τοῦ αὐτοῦ ἐπισκόπου Ὁσίου πόλεως Κουρδούβης.

λδ᾽ Ἀντίρρησις τοῦ φιλοσόφου.

λε᾽ Ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ Λεοντίου ἐπισκόπου Καισαρείας Καππαδοκίας καὶ Εὐψυχίου ἐπισκόπου Τυάνων.

λς᾽ Ἀντίρρησις τοῦ φιλοσόφου.

λζ᾽ Ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ τῶν αὐτῶν ἐπισκόπων Λεοντίου καὶ Εὐψυχίου.

λη᾽ Ἀπόκρισις τοῦ φιλοσόφου.

λθ᾽ Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τῶν αὐτῶν ὁσιωτάτων ἐπισκόπων Λεοντίου καὶ Εὐψυχίου.

μ᾽ Ἀντίρρησις τοῦ φιλοσόφου περὶ τοῦ »Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« ἐκ τῶν παροιμιῶν Σολομῶντος.

μα᾽ Ἀπόκρισις τῶν ἁγίων πατέρων τῶν ἐπισκόπων διὰ Εὐσεβίου τοῦ Παμφίλου ἐπισκόπου Καισαρείας Παλαιστίνης.

μβ᾽ Ὁ φιλόσοφος.

μγ᾽ Οἱ ἅγιοι ἐπίσκοποι οἱ ἡμέτεροι διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου εἶπον.

μδ᾽ Ἑτέρα ἀντίφρασις τοῦ φιλοσόφου.

με᾽ Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

μς᾽ Ἀντίρρησις τοῦ φιλοσόφου.

μζ᾽ Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

μη᾽ Ἀντεπερώτησις τοῦ φιλοσόφου.

μθ᾽ Οἱ ἅγιοι ἐπίσκοποι διὰ τοῦ αὐτοῦ Εὐσεβίου Παμφίλου εἶπον.

ν᾽ Ἀντίρρησις τοῦ φιλοσόφου.

να᾽ Ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου.

νβ᾽ Ἀντίρρησις τοῦ φιλοσόφου κατὰ τοῦ ἁγίου πνεύματος.

νγ΄ Ἀνταπόκρισις τῶν πατέρων διὰ Πρωτογένους ἐπισκόπου Σαρδικῆς.
νδ΄ Ὁ φιλόσοφος.
νε΄ Ἔτι οἱ ἅγιοι πατέρες εἶπον διὰ Λεοντίου ἐπισκόπου Καισαρείας Καππαδοκίας.
νς΄ Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τοὺς ἁγίους ἡμῶν πατέρας.
νζ΄ Ἀπόκρισις τῶν ἁγίων ἡμῶν πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Λεοντίου πρὸς τὸν φιλόσοφον.
νη΄ Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τὸ κοινὸν τῶν ἁγίων ἐπισκόπων.
νθ΄ Ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς τὸν φιλόσοφον διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου.
ξ΄ Ἀπόκρισις τοῦ φιλοσόφου.
ξα΄ Ἀπόκρισις τῶν ἁγίων πατέρων ὑποθετικὴ πρὸς τὸν φιλόσοφον περὶ πυρὸς καὶ ἀπαυγάσματος καὶ φωτὸς διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου.
ξβ΄ Ὅπου πιστεύει ὁ φιλόσοφος εἰς τὴν ἁγίαν τριάδα.
ξγ΄ Προσθέντες οἱ ἅγιοι πατέρες εἶπον πρὸς τὸν φιλόσοφον περὶ πηγῆς καὶ ποταμοῦ καὶ ὕδατος διὰ τοῦ ἐπισκόπου Λεοντίου.
ξδ΄ Καὶ ὁ φιλόσοφος.
ξε΄ Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Λεοντίου.
ξς΄ Εὐχαριστία τοῦ φιλοσόφου καὶ ἐπερώτησις περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως.
ξζ΄ Ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου.
ξη΄ Ἐπερώτησις τοῦ φιλοσόφου περὶ τοῦ αὐτοῦ.
ξθ΄ Ἀπόκρισις παρὰ τῶν ἁγίων πατέρων διὰ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων.
ο΄ Ὁ φιλόσοφος.
οα΄ Ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων.
οβ΄ Περὶ τῆς τῶν πάντων ὁμοφωνίας τῆς εἰς τὸ ὁμοούσιον.
ογ΄ Ὅπου ὑπὸ τοῦ κοινοῦ τῆς συνόδου ἐκκηρύττεται ὁ ἀσεβὴς Ἄρειος καὶ οἱ σὺν αὐτῷ.
οδ΄ Ἔκθεσις τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως ἐκτεθείσης ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου ἐπὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τῶν λαμπρῶν ἔτους ἀπὸ Ἀλεξάνδρου χλς΄ ἐν μηνὶ Δεσίῳ ιθ τῇ πρὸ δεκατριῶν Καλανδῶν Ἰουλίου ινδ΄ ιγ΄ ἐν Νικαίᾳ μητροπόλει τῆς Βιθυνίας.
οε΄ Αἱ περὶ τῆς πίστεως ὑπογραφαὶ τῶν ἐπισκόπων.
ος΄ Ὅπου ὁ βασιλεὺς ἀναστὰς ἐκ τοῦ θρόνου εὐχαριστηρίους φωνὰς ἀναπέμπει τῷ θεῷ.

οζ΄ Περὶ Ἀκεσίου ἐπισκόπου τῶν Ναυάτων καὶ τῶν σὺν αὐτῷ.
οη΄ Περὶ τῶν ἐκκλησιαστικῶν διατυπώσεων λόγος διδασκαλικός.
οθ΄ Περὶ τῶν λεγόντων μὴ δεῖν Χριστιανοὺς ἐργάζεσθαι.
π΄ Περὶ τῶν ἱερωμένων.
πα΄ Περὶ τοῦ μὴ δεῖν λαϊκοὺς ἀνιέναι ἐν τῷ ἄμβωνι.
πβ΄ Περὶ τοῦ ἁγίου βαπτίσματος.
πγ΄ Περὶ τῆς θείας τραπέζης καὶ τοῦ ἐπ᾽ αὐτὴν μυστηρίου τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ.
πδ΄ Περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως.
πε΄ Ὅτι μία ἡ ἐκκλησία τοῦ θεοῦ.
πς΄ Περὶ τῆς τοῦ θεοῦ προγνώσεως καὶ τοῦ κόσμου.
πζ΄ Ὅροι ἐκκλησιαστικοὶ συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν Νικαίᾳ. Περὶ εὐνούχων ἀποκοψάντων ἑαυτούς.
πη΄ Περὶ τῶν ἀπὸ ἐθνικῶν εἰς χειροτονίαν προαχθέντων.
πθ΄ Περὶ τῶν τὰς συνεισάκτους ἐχόντων.
ϛ΄ Περὶ καταστάσεως ἐπισκόπων.
ϛα΄ Περὶ τῶν ἀκοινωνήτων γινομένων.
ϛβ΄ Περὶ τῶν ἐξαιρέτων τιμῶν, αἳ τοῖς μείζονας κυβερνῶσιν ἐπισκοπὰς ἐκκλησιαστικῶς ἐκανονίσθησαν.
ϛγ΄ Περὶ τοῦ ἐν Αἰλίᾳ ἐπισκόπου.
ϛδ΄ Περὶ τῶν ὀνομαζομένων Καθαρῶν.
ϛε΄ Περὶ χειροτονίας πρεσβυτέρων.
ϛς΄ Περὶ τῶν πταιόντων καὶ προχειρισθέντων κατὰ ἄγνοιαν.
ϛζ΄ Περὶ παραβάντων χωρὶς ἀνάγκης.
ϛη΄ Περὶ τῶν ἀποταξαμένων καὶ πάλιν εἰς κόσμον ἀναδραμόντων.
ϛθ΄ Περὶ τῶν ἐν τῷ ἀποθνῄσκειν κοινωνίαν ἐπιζητούντων.
ρ΄ Περὶ τῶν κατηχουμένων παραπεσόντων δέ.
ρα΄ Περὶ τοῦ μὴ δεῖν μετατίθεσθαι ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν.
ρβ΄ Περὶ τῶν ἐν αἷς προεβλήθησαν ἐκκλησίαις οὐκ ἐμμενόντων.
ργ΄ Περὶ κληρικῶν τοκιζόντων.
ρδ΄ Περὶ πρεσβυτέρων λαμβανόντων παρὰ διακόνων τὴν εὐχαριστίαν.
ρε΄ Περὶ τῶν ἐκ Παύλου τοῦ Σαμοσατέως προσελθόντων ἢ προσιόντων τῇ καθολικῇ ἐκκλησίᾳ.
ρς΄ Περὶ τῶν ἐν κυριακῇ γόνυ κλινόντων.
ρζ΄ Περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους ἕκαστον τὴν ἑαυτοῦ γαμετὴν ἐκβάλλειν.
ρη΄ Περὶ τοῦ ἀνοσίου Μελιτίου.
ρθ΄ Συνοδικὴ ἐπιστολὴ γραφεῖσα τοῖς κατὰ Ἀλεξάνδρειαν καὶ Αἴγυπτον καὶ Πεντάπολιν καὶ Λιβύην καὶ ταῖς κατὰ πᾶσαν τὴν ὑπ᾽ οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις κλήροις τε καὶ λαοῖς τῆς

ὀρθοδόξου πίστεως παρὰ τῆς ἐν Νικαίᾳ ἁγίας συνόδου τῶν ἐπισκόπων.

ρι΄ Ἐγκύκλιος ἐπιστολὴ γραφεῖσα παρὰ Εὐσεβίου ἐπισκόπου Καισαρείας τῆς ἐν Παλαιστίνῃ.

ρια΄ Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.

ριβ΄ Νικητὴς Κωνσταντῖνος μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ λαοῖς.

ριγ΄ Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Ἀλεξανδρεῖς κατὰ Ἀρείου καὶ πρὸς πάντας ὀρθοδόξους.

ριδ΄ Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου, ἣν ἀπὸ τῆς Νικαέων ἀπέστειλε τοῖς ἀπολειφθεῖσι τῆς συνόδου ἐπισκόποις.

ριε΄ Κατάλογος τῶν ἁγίων ἐπισκόπων, δι᾽ ὧν ἡ σὺν αὐτοῖς ἐν Νικαίᾳ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ταῖς ἀνὰ τὴν οἰκουμένην ἐκκλησίαις τοῦ θεοῦ διεπέμψατο τὰ ἐν αὐτῇ δι᾽ αὐτῶν κεκριμένα ὑπὸ τοῦ ἁγίου πνεύματος.〉

Περὶ τῶν μετὰ τὴν ἀναίρεσιν τοῦ ἀσεβοῦς Λικιννίου καὶ αὐτοκρατορίας τοῦ βασιλέως Κωνσταντίνου καὶ εἰρήνης τῶν τοῦ θεοῦ ἐκκλησιῶν.

Κωνσταντῖνος τοίνυν πάντων γενόμενος ἐγκρατὴς διὰ τῆς ἐκ 1 1
θεοῦ δοθείσης αὐτῷ συνάρσεως αὐτοκράτωρ βασιλεὺς ἀναδει-
χθείς, τὰ Χριστιανῶν αὔξειν εἰσέτι μᾶλλον καὶ μᾶλλον ἐσπούδα-
ξεν. ἐποίει τε τοῦτο διαφόροις τοῖς τρόποις, ἔμπυρον ἔχων πίστιν
καὶ ἔμφυτον τὴν εἰς τὸν τῶν ὅλων θεὸν πιστοτάτην εὐσέβειαν, καὶ
ἣν πᾶσα ἡ ὑπὸ τὸν οὐρανὸν ἐκκλησία ἐν βαθείᾳ εἰρήνῃ. ἀκού- 2
σωμεν δή, τί ἐνταῦθα λέγει καὶ ὁ ἀροτὴρ ὁ κάλλιστος τῆς ἐκκλη-
σιαστικῆς γεωργίας ὁ φιλαληθέστατος Εὐσέβιος ὁ τοῦ παμφήμου
Παμφίλου. ὁ μὲν οὖν Λικίννιος, φησί, τὴν ὁμοίαν τοῖς ἀθέοις τυράν- 3
νοις τῆς ἀσεβείας μετελθὼν ὁδόν, ἐπὶ τὸν ἴσον αὐτοῖς ἐνδίκως περι-
ηνέχθη κρημνόν. ἀλλ᾽ οὗτος μὲν ταύτῃ πῃ βεβλημένος ἔκειτο· ὁ δὲ 4
ἀρετῇ πάσῃ τῆς θεοσεβείας ἐκπρέπων μέγιστος νικητὴς Αὔγουστος
Κωνσταντῖνος σὺν παιδὶ Κρίσπῳ, βασιλεῖ θεοφιλεστάτῳ κατὰ πάντα
τῷ πατρὶ ὁμοιοτάτῳ, τὴν οἰκείαν ἑῴαν ἀπελάμβανε, καὶ μίαν ἡνωμέ-
νην τὴν Ῥωμαίων κατὰ τὸ παλαιὸν παρεῖχον ἀρχήν, τὴν ἀπ᾽ ἀνίσχον-
τος ἡλίου πᾶσαν ἐγκύκλιον καθ᾽ ἑκάτερα τῆς οἰκουμένης ἄρκτον
τε ὁμοῦ καὶ μεσημβρίαν εἰς ἕσχατα δυομένης ἡμέρας ὑπὸ τὴν
αὐτὴν ἄγοντες εἰρήνην. ἀφῃρεῖτο δ᾽ οὖν ἐξ ἀνθρώπων πᾶν δέος 5
τῶν αὐτοὺς πιεζόντων, λαμπρὰς δὲ ἐτέλουν καὶ πανηγυρικὰς ἑορτῶν
ἡμέρας, ἦν δὲ φωτὸς ἔμπλεα τὰ πάντα, καὶ μειδιῶσι προσώποις ὅμμασί

3—8 vgl. Socr. I 4, 5 p. 9f — **11—S. 32, 11** vgl. Eus. H. E. X 9 p. 900, 22 —902, 20

A^1 A^2 (von Z. 7 *πιστοτάτην* an) H V^1P^3 $M^2P^1P^2$

1 *καὶ*] *τῆς* H **6** *τε*] *δὲ* P^2 | *ἔμπειρον* P^2 **8** *ἡ* + *τῶν* A^2 | *τὸν* corr. aus *τῶν* A^2 | *ἐκκλησιῶν* A^2 | *εἰρήνη* + *ἐκ τοῦ δεκάτου τόμου εὐσεβίου τοῦ παμφίλου* $A^2HM^2P^1P^2V^1$ **10** *παμφήμου*] *πανευφήμου* $M^2P^1P^2 > V^1$ **12** *εὐσεβείας* H **13** *πῃ βεβλημένος*] *περιβεβλημένος* P^3 **18** *ἐν κύκλῳ* Eus. **20** *αὐτὴν* A^2H *αὐτῶν* d. übr. HSS **21** *τῶν πρὶν αὐτοὺς πιεζούντων* Eus.

τε φαιδροῖς οἱ πρὶν κατηφεῖς ἀλλήλους ἔβλεπον. παρῆσαν δὲ αὐτοῖς καὶ ὕμνοι κατὰ πόλιν ὁμοῦ καὶ ἀγρούς, τὸν βασιλέα θεὸν καὶ τὸν τούτου γνήσιον παῖδα Χριστὸν πρώτιστα πάντων, ὅτι δὴ τοῦτο ἐδιδάχθησαν, ἐγέραιρον, καὶ ἔπειτα τὸν εὐσεβῆ βασιλέα ἅμα παισὶ θεοφιλέσιν εὐφήμουν. κακῶν δὲ ἀμνηστία παλαιῶν ἦν καὶ λήθη πάσης 6
δυσσεβείας, τῶν δὲ ἀγαθῶν ⟨παρόντων⟩ ἀπόλαυσις καὶ προσέτι μελλόντων προσδοκία. ἥπλωντο οὖν κατὰ πάντα τόπον τῆς τοῦ νικητοῦ βασιλέως φιλανθρωπίας ἔμπλεοι διατάξεις νόμοι τε μεγαλοδωρεᾶς καὶ ἀληθοῦς εὐσεβείας γνωρίσματα ἔχοντες. οὕτω δῆτα πάσης τυ- 7
ραννίδος ἐκκαθαρθείσης, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ τοῖς τούτου παισί.

Τοσαῦτα οὖν ὁ τῶν ἀρχαίων ἐκκλησιαστικῶν συγγραφέων ἀξιο- 8
πιστότατος Εὐσέβιος ὁ τοῦ Παμφίλου πλείστους ὅσους ἀγῶνας θέμενος καὶ διερευνησάμενος ἔκ ⟨τε⟩ τῶν ἁπλῶς ἐχόντων τὴν ἀναλογὴν ποιησάμενος, ἐν δέκα τόμοις ὅλοις τὰ τῆς ἐκκλησιαστικῆς ἡμῖν ἱστορίας ἀκριβῶς καταλέλοιπεν, ἀρξάμενος μὲν ἀπὸ τῆς τοῦ κυρίου παρ- 9
ουσίας, πληρώσας δὲ εἰς τούσδε τοὺς χρόνους, οὐκ ἀπόνως — πῶς γὰρ οἷόν τε ἦν τοσαύτην ἀναδεξάμενον φροντίδα τοῦ διασώσασθαι τῆς τοιᾶσδε συλλογῆς τὴν ἁρμονίαν — ἀλλ', ὡς ἀρτίως ἔφην, πολλὴν εἰσενεγκάμενος τὴν σπουδὴν καὶ πλοῦτον ἄφατον πόνου· ἀλλὰ 10
μηδεὶς οἰέσθω τὸν ἄνδρα ἐκ τῶν περὶ αὐτοῦ ἐπιπεφημισμένων, ὡς τῆς Ἀρείου βλασφήμου μοχθηρίας ποτέ τι πεφρονήκει, ἀλλὰ πεπείσθω, ὡς εἰ καί τινα ἢ ἐλάλησεν ἢ ἔγραψε μικρόν τι τῶν Ἀρείου ὑπονοούμενα, οὐ μὴν κατὰ τὴν ἀσεβῆ ἐκείνου ἔννοιαν ἀλλ' ἐξ ἀπεριέργου ἁπλότητος, καθὼς καὶ αὐτὸς ἐν τῷ ἀπολογητικῷ αὐτοῦ λόγῳ, ᾧ διεπέμψατο πρὸς τὸ τῶν ὀρθοδόξων ἐπισκόπων κοινόν, μαρτυράμενος ταῦτα ἐπληροφόρησε. καὶ ἀληθεύειν τὸν ἄνδρα ὑπολάβοι πᾶς τις 11
εὖ φρονῶν ὁπότε σύνεστι καὶ ἐξ ἐκείνου πεισθῆναι μήπω τότε πού ποτε τὰ Ἀρείου ἀκουσθησόμενα. δείξει δὲ τὰ ἐν τῇ συνόδῳ τῇ κατὰ

A²H V¹P³ M²P¹P²

1 *παρῆσαν* A², *παρὸν* aber am Rand ☞ *παρῆν* H, *παρὸν* M²P¹P² *παρῆν* V¹P³ > Eus. **2** *ὕμνοι* A²V¹P³ *ὕμνοις* HM²P¹P² Eus. **6** *παρόντων* nach Euseb zugesetzt > HSS **12** *οὖν* > V¹P³ **14** corr. Ltz. **15** *ἡμῖν* > M² **17** *πληρώσας — ἀπόνως* > A² **18** *ἀναδεξ. τοσαύτην* ∾ H **21** *περὶ* > P² | *ἐπιπεφημένων* A², *ἐπιφημισμένων* H, *ἐπιπεφημισμένον* P² | Randnotiz: *οὗτος μέν φησι τὸν παμφίλου μὴ ἀρειογνώμονα εἶναι, ἐν πολλοῖς δὲ τοῖς αὐτοῦ λόγοις φρονῶν φαίνεται τὰ τοῦ ἀρείου* H **22** *βλασφήμου μοχθηρίας*] *βλασφημίας* V¹P³ *βλασφήμου* corr. aus *βλασφημίας* A² **23** *τινα ἢ*] *τιν' ἂν* V¹P³ | *τῶν*] *τοῦ* H **27** *ἀληθεύει* P³ **29** *ποτε* nachträgl. eingefügt A²

τὴν Νικαέων αὐτῷ ἠγωνισμένα κατὰ τῆς ἀσεβείας Ἀρείου ὑπὲρ τῆς ἀποστολικῆς καὶ ὀρθοδόξου πίστεως.

Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐπανίωμεν. 12 τῆς οὖν ἀνὰ τὴν οἰκουμένην ἐκκλησίας Χριστοῦ τοῦ σωτῆρος ἡμῶν εἰρήνην βαθεῖαν ἐχούσης, πρυτανευθείσης αὐτῇ ταύτης παρὰ τοῦ παμβασιλέως θεοῦ διὰ τοῦ θεράποντος αὐτοῦ Κωνσταντίνου καὶ τῶν αὐτοῦ παίδων, μετὰ τὸ μαρτύριον τοῦ θεσπεσίου Πέτρου τοῦ τῆς 13 Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπου γενομένου, τελειωθέντος αὐτοῦ ἐν αὐτῷ τῷ μαρτυρίῳ καὶ τὸν τῆς ἀθλήσεως ἄφθαρτον στέφανον ἀναδησαμένου, χηρεύει ἡ ἐκεῖσε ἐκκλησία ἐνιαυτὸν ἕνα· μετὰ δὲ 14 τὸν ἐνιαυτὸν χειροτονεῖται εἰς τὸν θρόνον τοῦ αὐτοῦ ἁγίου μάρτυρος Πέτρου Ἀχιλλᾶς, ἀνὴρ στιβαρὸς καὶ μεγαλοφυὴς ἁγιόφρων εὐλαβείᾳ ὁμοῦ καὶ σοφίᾳ πλείστῃ ὅσῃ διαπρέπων, καθὼς ἡμῖν τὰ παλαιὰ καὶ ἁπλανῶς ἔχοντα διηγοῦνται συγγράμματα, ὃς πολλὰ παρακληθεὶς ὑπεδέξατο τὸν Ἄρειον εἰς τὴν διακονίαν. τούτου δὲ ἐπιβιώσαντος 15 μῆνας πέντε μόνον ὑποδέχεται τὴν τῆς ἀρχιερωσύνης ἀρχὴν τῆς αὐτόθι τῶν Ἀλεξανδρέων ἐκκλησίας Ἀλέξανδρος, ἀνὴρ τίμιος ἐν πᾶσι παντὶ τῷ τῆς ἐκκλησίας κλήρῳ καὶ λαῷ, μικρομεγέθης εὐμετάδοτος εὔλαλος ἐπιεικὴς φιλόθεος φιλάνθρωπος φιλόπτωχος χρηστὸς προσηνὴς πρὸς πάντας εἴπερ τις ἄλλος. ὃς καὶ αὐτὸς κατέστησε τὸν Ἄρειον πρεσβύτερον ἔγγιστα ἑαυτοῦ. ἐπὶ τούτου τῆς εἰρήνης τῶν ἐκκλησιῶν 16 ὁσημέραι ὡς ἔτι μᾶλλον καὶ μᾶλλον λαμπρυνομένης καὶ εἰς μίαν ὁμόνοιαν συνεστώσης καὶ τοῖς ἐπάθλοις τῶν ἁγίων μαρτύρων παντα-χοῦ γῆς σεμνυνομένης, οὐκ ἐνεγκὼν ὁ διάβολος τὴν τοσαύτην τοῦ πιστοτάτου τῆς ἐκκλησίας λαοῦ ἐπὶ τῇ ἐν αὐτῇ πρὸς τὸν θεὸν οὐρανίῳ θρησκείᾳ αὔξησιν πάλιν ἔκ τινος φιλονεικίας τῶν ἐν αὐτῇ ταραχὴν ὑφίσταται.

4—27 vgl. Rufin X 1 p. 960. Socr. a. a. O. — **24** vgl. Thdt. I 1, 5 p. 5

A²H V¹P³ M²P¹P²

1 *τὴν*] *τῶν* H **5** *πρυτανευθήσης* A² **6** *βασιλέως* H **7** *παίδων*] *πάντων* P³ **10** *ἀναδησαμένον* corr. aus *ἀναδυσαμένου* A² *ἀναδυσαμένου* P² | *ἡ* > P³ | *ἐκεῖσε* am Rand und wohl von anderer Hd. eingefügt A² **11** *τοῦ αὐτοῦ* HM²P¹P² *τοῦ ἑαυτοῦ* A² *αὐτοῦ τοῦ* V¹P³ **12** *ἀχιλᾶς* A² *ἀχιλλᾶς* HM²P¹ V¹P³ *ἀχιλλᾶς* aber wohl corr. P² | *εὐλαβεία* durch Corr. H *εὐσεβείᾳ* M² **14** *γράμματα* V¹ **15** *τὸν* > V¹ **16** *ἀρχιερωσύνης* A² H *ἱερωσύνης* d. übr. HSS **18** *μικρομέγεθος* A²H **19** *φιλόθεος* > M²P¹P² **21** *τούτου*] *τοῦτο* A² **25** *πληρώματος* H | *ἐν* nachträgl., aber von 1. Hd. eingefügt P³ **27** *ὑφίσταται* Text, aber am Rand (wohl von anderer Hd.) *ὑφίστησαν* A²

Περὶ τῆς ἐφευρεθείσης αἱρέσεως ὑπὸ τοῦ θεομάχου Ἀρείου.

Ὁ γὰρ πρεσβύτερος ἐκεῖνος, ὃν ἔφαμεν τῆς τοιᾶσδε ἠξιῶσθαι τιμῆς 2 1
ὑπὸ Ἀλεξάνδρου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, Ἄρειος τοὔνομα, ἀνὴρ
προσχήματι μᾶλλον εὐσεβὴς τὰ δὲ ἄλλα δόξης καὶ κενότητος θερμὸς
ἐραστής, ἤρξατο προφέρειν τινὰ ξένα περὶ τῆς εἰς Χριστὸν πίστεως,
ἃ τοῖς ἔμπροσθεν χρόνοις οὐδεὶς πώποτε ἐξήτησεν ἢ παρεισήνεγκεν·
ἐπιχειρήσας τὸν μονογενῆ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διελεῖν 2
τῆς τοῦ πατρὸς ἀῤῥήτου καὶ ἀιδίου θεότητος, πολλῆς κατὰ τὴν
ἐκκλησίαν παραίτιος ταραχῆς γέγονεν. ἀλλὰ δὴ τοῦ Ἀλεξάνδρου 3
πραότητι φύσεως τὸν Ἄρειον ἐπὶ τὸ ἄμεινον θέλοντος μεταβαλεῖν
πρεπούσαις παραινέσεσι, μηδέπω δὲ κρίνοντος ἀποφάσει χρήσασθαι
τέως, ἐπινέμεσθαι διὰ τοῦτο πολλοὺς τὴν λοιμικὴν περίστασιν τῆς
αἱρέσεως γέγονεν, ἔπειτα ὡς ἀπὸ μικροῦ σπινθῆρος μέγα πῦρ ἐξαφθῆ-
ναι. ἀρξάμενον δὲ τὸ κακὸν ἀπὸ τῆς Ἀλεξανδρέων ἐκκλησίας 4
καὶ κατὰ πόλεις ἄλλας καὶ ἐπαρχίας διέτρεχε. τέλος ὡς ἐνεῖδεν 5
ἐπὶ τὸ χεῖρον τὸ κακὸν προϊέναι, σύνοδον τῶν ὑπ' αὐτὸν ἐπισκόπων
συστησάμενος καὶ καθελὼν τὸν Ἄρειον, δίδωσιν εἰς τοὺς συλλειτουρ-
γοὺς τὴν ὑπόθεσιν ὁ Ἀλέξανδρος, πλατύτερόν τε τὰ κατὰ τὸν Ἄρειον
ἐκτεθεικὼς σπουδήν τε ἐνιεὶς πρὸς ἀναίρεσιν τῆς αἱρέσεως, εἰς παρα-
σκευὴν τῆς διαγνώσεως αὐτοὺς ἑτοιμάζεσθαι παρακελεύεται, γράψας
πρὸς αὐτοὺς τοιάδε·

Καθαιρετικὸν Ἀρείου καὶ τῶν σὺν αὐτῷ διαπεμφθὲν παρὰ Ἀλεξάνδρου ἐπισκόπου τοῖς ἁπανταχοῦ ἐπισκόποις·

»Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχοῦ 3 1
»τῆς καθολικῆς ἐκκλησίας Ἀλέξανδρος ἐν κυρίῳ χαίρειν.
»Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς ἐκκλησίας ἐντολῆς τε οὔσης 2
»ἐν ταῖς θείαις γραφαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρή-
»νης ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν ἀλλήλοις τὰ παρ'

2—13 vgl. Rufin a. a. O. — 13—17 vgl. Socr. I 5, 6 p. 11f — 22 Das Schreiben ist erhalten in den Athanasius-HSS (vgl. G. Loeschcke Rhein. Mus. LIX, 458ff u. E. Schwartz Gött. Nachr. 1904, 291f) und bei Socr. I 6 p. 12ff, aber bei diesem fehlen die Unterschriften — 26 vgl. Ephes. 4, 4. 3

A²H V¹P³ M²P¹P²

2 ἠξιοῦσθαι V¹P³ 5 προσφέρειν H 7 ἐπιχειρήσας + γὰρ H 8 θεότητος + καὶ A² 9 ταραχῆς παραίτιος ∼ H 14 δὲ] τε HSS > P² | ἀπὸ — 16 κακὸν > A² 16 αὐτὸν corr. aus αὐτῶν A² 18 ὁ > M² 21 τοιάδε πρὸς αὐτοὺς ∼ A²

»ἑκάστοις γίνομενα, ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος, ἢ συμπάσχω-
»μεν ἢ συγχαίρωμεν ἀλλήλοις. ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλ- 3
»θον νῦν ἄνδρες παράνομοι καὶ χριστομάχοι, διδάσκοντες ἀποστασίαν,
»ἣν εἰκότως ἄν τις πρόδρομον τοῦ ἀντιχρίστου ὑπονοήσειε καὶ κα-
»λέσειε. καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ τοιοῦτον, ὅπως 4
»ἐν τοῖς ἀποστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν καὶ μὴ εἰς ἑτέρους
»τόπους διαβὰν τὸ τοιοῦτον ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς.
»ἐπειδὴ δὲ Εὐσέβιος ⟨ὁ⟩ νῦν ἐν τῇ Νικομηδείᾳ, νομίσας ἐπ᾽ αὐτῷ κεῖσθαι
»τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν καὶ ἐποφθαλμίσας
»τῇ ἐκκλησίᾳ Νικομηδέων οὐκ ἐκδεδίκηται τὰ κατ᾽ αὐτόν, προΐσταται
»καὶ τούτων τῶν ἀποστατῶν καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συν-
»ιστῶν αὐτούς, ὅπως ὑποσύρῃ τινὰς ἀγνοοῦντας εἰς τὴν ἐσχάτην
»ταύτην καὶ χριστομάχον αἵρεσιν, ἀνάγκην ἔσχον, εἰδὼς τὸ ἐν τῷ
»νόμῳ γεγραμμένον μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ λοιπὸν πᾶσιν
»ὑμῖν, ἵνα γινώσκητε τούς τε ἀποστάτας γενομένους καὶ τὰ τῆς αἱρέ-
»σεως αὐτῶν δύστηνα ῥημάτια καί, ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέ-
»χητε. παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ σιωπηθεῖσαν νῦν 5
»διὰ τούτων ἀνανεῶσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων
»γράφειν, ἔργῳ δὲ δείκνυσιν ὅτι ὑπὲρ αὐτοῦ σπουδάζων τοῦτο ποιεῖ.
»Οἱ μὲν οὖν ἀποστάται γενόμενοί εἰσιν Ἄρειος καὶ Ἀχιλλεὺς καὶ 6
»Θαλῆς καὶ Καρπώνης καὶ ἕτερος Ἄρειος καὶ Σαρμάτης καὶ Εὐζώϊος
»καὶ Λούκιος καὶ Ἰούλιος καὶ Μηνᾶς καὶ Ἑλλάδιος καὶ Γάϊος καὶ σὺν
»αὐτοῖς Σεκοῦνδος καὶ Θεωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. ποῖα 7
»δὲ παρὰ τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν, ἔστι ταῦτα· »οὐκ ἀεὶ ὁ
»θεὸς πατὴρ ἦν, ἀλλ᾽ ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ
»τοῦ θεοῦ λόγος, ἀλλ᾽ ἐξ οὐκ ὄντων γέγονεν. ὁ γὰρ ὢν θεὸς τὸν
»μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκεν. διὸ καὶ ἦν ποτε, ὅτε οὐκ ἦν.

1 vgl. I Kor. 12, 26 — **14** vgl. Matth. 18, 17. Röm. 16, 17 — **20—24** vgl. Thdt. I 4, 61 (dazu G. Loeschcke in Zeitschr. f. Kirchengesch. XXXI (1910), S. 584)

A²H V¹P³ M²P¹P²

1 εἴτε¹] τε P² | εἴτε²] ἢ A²H **4** ἧν] ἡ corr. in ἢ und überdies am Rand von anderer Hd. ἧν M² | ὑπονοήσει H **7** ἀκεραίων > A² ἀκαιρεαίων P² **8** νῦν] μὲν P² **11** τῶν nachträgl. eingefügt A² **13** ταύτην nachträgl. eingefügt P² **14** λοιπὸν > P² **15** γινώσκητε, aber τε corr. aus ται A², γινώσκητ[ε]ι P² | γινώσκητε τούτους γενομένους und am Rand τούς τε ἀποστάτας H **16** μὴ A² > d. übr. HSS **17** αὐτοῦ] ἑαυτοῦ H **18** διὰ τούτων] τοῦτον A² | ἀνανεώσας P² **20** ἀχιλλεύς A² ἀχιλεὺς H **21** σαρμάτος V¹ **22** ἑλλάδιος A²H ἑλάδιος d. übr. HSS **23** Θεωνᾶς V¹ **24** ταῦτα + δόγμα Ἀρείου rot geschrieben V¹, am Rand von 1. Hd. M²P¹ **25** οὐκ ἀεὶ ἦν > H **26** τὸν] τὰ H

»κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός· οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ »πατρί ἐστιν οὔτε ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς λόγος ἐστὶν οὔτε »ἀληθινὴ σοφία αὐτοῦ ἐστιν, ἀλλὰ εἷς μὲν τῶν ποιημάτων καὶ γεννη»τῶν ἐστι, καταχρηστικῶς δὲ λέγεται λόγος καὶ σοφία, γενόμενος 8
»καὶ αὐτὸς τῷ ἰδίῳ τοῦ θεοῦ λόγῳ καὶ τῇ ἐν τῷ θεῷ σοφίᾳ. ἐν ᾗ »καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός. διὸ καὶ τρεπτός ἐστι »καὶ ἀλλοιωτὸς τὴν φύσιν ὡς καὶ πάντα τὰ λογικά. ξένος τε καὶ 9
»ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος τῆς τοῦ θεοῦ οὐσίας »καὶ ἄρρητός ἐστιν ὁ πατὴρ τῷ υἱῷ. οὔτε γὰρ τελείως καὶ ἀκριβῶς »γινώσκει ὁ λόγος τὸν πατέρα οὔτε τελείως ὁρᾶν αὐτὸν δύναται. »καὶ γὰρ καὶ ἑαυτοῦ τὴν οὐσίαν οὐκ οἶδεν ὁ υἱὸς ὡς ἔστι. δι' ἡμᾶς »γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου κτίσῃ ὁ θεός, καὶ »οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ θεὸς ἤθελε ποιῆσαι«.

»Ἠρώτησε γοῦν τις αὐτούς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τρα- 10
»πῆναι, ὡς ὁ διάβολος ἐτράπη. καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν ὅτι καὶ »δύναται, τρεπτῆς γὰρ φύσεώς ἐστι, γενητὸς καὶ κτιστὸς ὑπάρ»χων«. ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον καὶ ἐπὶ τούτοις ἀναι»σχυντοῦντας αὐτούς τε καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς ἡμεῖς »μὲν μετὰ τῶν κατ' Αἴγυπτον καὶ τὰς Λιβύας ἐπισκόπων ἐγγὺς »ἑκατὸν ὄντων συνελθόντες ἀνεθεματίσαμεν. οἱ δὲ περὶ Εὐσέβιον 11
»προσεδέξαντο, σπουδάζοντες ἐγκαταμίξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ καὶ »τῇ εὐσεβείᾳ τὴν ἀσέβειαν, ἀλλ' οὐκ ἰσχύσουσι, νικᾷ γὰρ ἡ ἀλήθεια. »καὶ οὐδεμία ἐστὶ »κοινωνία φωτὶ πρὸς σκότος« οὐδὲ »συμφώ»νησις Χριστοῦ πρὸς Βελίαρ«. τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα; 12
»ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται καὶ τὰς ἀκοὰς βύει ὑπὲρ τοῦ μὴ τὸν »ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; τίς γὰρ ἀκούων »Ἰωάννου λέγοντος »ἐν ἀρχῇ ἦν ὁ λόγος« οὐ καταγινώσκει τούτων »λεγόντων »ἦν ποτὲ ὅτε οὐκ ἦν«, ἢ τίς ἀκούων ἐν τῷ εὐαγγελίῳ »»μονογενὴς υἱός, καὶ δι' αὐτοῦ ἐγένετο πάντα« οὐ μισήσει

22 I Esra 3, 12 — **23f** II Kor. 6, 14. 15 — **25** vgl. Ignatius Ephes. 9, 1 — **27** Joh. 1, 1 — **29** Joh. 3, 18. 1, 3

A²H V¹P³ M²P¹P²

2 *καὶ* nachträgl. eingefügt H **2f** *οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστιν* > M² P¹P²V¹P³ **4** *γενόμενος* — **5** *σοφίᾳ* > A²HV¹ **6** *καὶ*¹ > M²P¹P² **7** *καὶ*² + *τὰ* aber wohl erst verschrieben A² **9** *καὶ ἀκριβῶς* — **10** *τελείως* > M²P¹P² V¹P³ **10** *λόγος*] *υἱὸς* M²P¹P²V¹P³ **11** *ἑαυτοῦ* A² (Socr.) *αὐτοῦ* d. übr. HSS | *οἶδεν* corr. aus *εἶδεν* A² **12** *γὰρ* > P² **14** *τις* corr. aus *τι* P² **14f** *τραπῆναι* > A² **20** *δὲ*] *δὴ* V¹ **27** *Ἰωάννου* — **28** *ἀκούων* > V¹ **28** *εὐαγγελίῳ* + *ὁ* M²P¹P²

›τούτους φθεγγομένους ὅτι »εἷς ἐστι τῶν ποιημάτων«; πῶς γὰρ
›δύναται εἷς εἶναι τῶν δι' αὐτοῦ γενομένων. ἢ πῶς μονογενὴς ὁ τοῖς
›πᾶσι κατ' ἐκείνους συναριθμούμενος; πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη
›τοῦ πατρὸς λέγοντος »ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν«
5 ›καὶ »ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε«; ἢ πῶς ἀν- 13
›όμοιος τῇ οὐσίᾳ τοῦ πατρὸς ὁ ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ
›πατρὸς καὶ λέγων »ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα«; πῶς
›δέ, εἰ λόγος καὶ σοφία ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ, »ἦν ποτὲ ὅτε οὐκ ἦν«;
›ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν θεόν. πῶς 14
10 ›δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ μὲν »ἐγὼ ἐν τῷ
›πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ« καὶ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«
›διὰ δὲ τοῦ προφήτου »Ἴδετέ με ὅτι ἐγώ εἰμι καὶ οὐκ ἠλλοίω-
›μαι«; εἰ γὰρ καὶ ἐπ' αὐτόν τις τὸν πατέρα δύναται τὸ ῥητὸν ἀνα-
›φέρειν, ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ λόγου νῦν λεγόμενον
15 ›ὅτι καὶ γενόμενος ἄνθρωπος οὐκ ἠλλοίωται, ἀλλ' ὡς εἶπεν ὁ ἀπό-
›στολος »Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς
›τοὺς αἰῶνας«. τί δὲ ἦρα εἰπεῖν αὐτοὺς ἔπεισεν ὅτι δι' ἡμᾶς γέγονε,
›καίτοι τοῦ Παύλου λέγοντος »δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ
›πάντα«; περὶ γὰρ τοῦ βλασφημεῖν αὐτοὺς ὅτι οὐκ οἶδε τελείως 15
20 ›ὁ υἱὸς τὸν πατέρα, οὐ δεῖ θαυμάζειν. ἅπαξ γὰρ προθέμενοι χριστο-
›μαχεῖν, παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος »καθὼς
›γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα«. εἰ μὲν
›οὖν ἐκ μέρους ὁ πατὴρ γινώσκει τὸν υἱόν, δῆλον ὅτι καὶ ὁ υἱὸς οὐ
›τελείως γινώσκει τὸν πατέρα· εἰ δὲ τοῦτο λέγειν οὐ θέμις, οἶδε δὲ
25 ›τελείως ὁ πατὴρ τὸν υἱόν, δῆλον ὅτι καθὼς γινώσκει ὁ πατὴρ τὸν
›ἑαυτοῦ λόγον, οὕτως καὶ ὁ λόγος γινώσκει τὸν ἑαυτοῦ πατέρα, οὗ
›καὶ ἔστι λόγος.

›Ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς θείας γραφὰς πολλάκις 16
›ἐνετρέψαμεν αὐτούς, καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλλοντο,
30 ›φιλονεικοῦντες εἰς ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμμένον »ὅταν ἔλθῃ
›ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ«. πολλαὶ γοῦν αἱρέσεις

4 Psal. 44, 1 — **5** Psal. 109, 3 — **6** vgl. Weish. Sal. 7, 26 — **7** Joh. 14, 9 — **8** vgl. Joh. 1, 1. I Kor. 1, 24 — **10** Joh. 14, 11 — **11** Joh. 10, 30 — **12** Mal. 3, 6 — **16** Hebr. 13, 8 — **18** Hebr. 2, 10 — **21** Joh. 10, 15 — **30** Prov. 18, 3

A²H V¹P³ M²P¹P²

8 ἐστὶ τοῦ θεοῦ ὁ υἱὸς ∾ V¹P³M²P¹P² **14** νῦν > H **23** οὐ] μὴ V¹P³ **24** τοῦτον P³ | οἶδε] εἶδε V¹ **29** ἀνετρέψαμεν H (Socr.) **30 f** ἀσεβὴς ἔλθῃ ∾ V¹

»πρὸ αὐτῶν γεγόνασιν, αἵτινες πλέον τοῦ δέοντος τολμήσασαι πεπτώ-
»κασιν εἰς ἀφροσύνην, οὗτοι δὲ διὰ πάντων ἑαυτῶν τῶν ῥηματίων
»ἐπιχειρήσαντες τὰ εἰς ἀναίρεσιν τῆς τοῦ λόγου θεότητος, ἐδικαίω-
»σαν ἐξ ἑαυτῶν ἐκείνας ὡς ἐγγύτεροι τοῦ ἀντιχρίστου γενόμενοι. διὸ
»καὶ ἀπεκηρύχθησαν καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς ἐκκλησίας. λυ- 17
»πούμεθα μὲν οὖν ἐπὶ τῇ ἀπωλείᾳ τούτων καὶ μάλιστα ὅτι μαθόν-
»τες ποτὲ καὶ αὐτοὶ τὰ τῆς ἐκκλησίας νῦν ἀπεπήδησαν, οὐ ξενιζό-
»μεθα δέ. τοῦτο γὰρ καὶ Ὑμέναιος καὶ Φιλητὸς πεπόνθασι καὶ πρὸ
»αὐτῶν Ἰούδας ὃ⟨ς⟩ ἀκολουθήσας τῷ σωτῆρι ὕστερον προδότης καὶ
»ἀποστάτης γέγονε. καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι 18
»μεμενήκαμεν, ἀλλ' ὁ μὲν κύριος προείρηκε »βλέπετε μή τις ὑμᾶς
»»πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέ-
»γοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε, καὶ πολλοὺς
»πλανήσουσι. μὴ πορευθῆτε οὖν ὀπίσω αὐτῶν«, ὁ δὲ Παῦλος
»μαθὼν ταῦτα παρὰ τοῦ σωτῆρος ἔγραψεν »ὅτι ἐν ὑστέροις καιρ-
»οῖς ἀποστήσονταί τινες ἀπὸ τῆς ὑγιαινούσης πίστεως,
»προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων
»ἀποστρεφομένων τὴν ἀλήθειαν«. τοῦ τοίνυν κυρίου καὶ σωτῆ- 19
»ρος ἡμῶν Ἰησοῦ Χριστοῦ διά τε ἑαυτοῦ παραγγείλαντος καὶ διὰ τοῦ
»ἀποστόλου σημάναντος περὶ τῶν τοιούτων ἀκολούθως ἡμεῖς αὐτή-
»κοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι ἀνεθεματίσαμεν, καθὰ προείπομεν,
»τοὺς τοιούτους, ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς
»ἐκκλησίας τε καὶ πίστεως. ἐδηλώσαμεν οὖν καὶ τῇ ὑμετέρᾳ θεο- 20
»σεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί, ἵνα μήτε τινὰς ἐξ
»αὐτῶν, εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν. προσδέξησθε μήτε
»Εὐσεβίῳ ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε. πρέπει γὰρ
»ἡμᾶς Χριστιανοὺς ὄντας πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε
»καὶ φρονοῦντας ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέ-
»φεσθαι, καὶ μηδὲ κἂν χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μήποτε καὶ
»ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακά-

8 vgl. II Timoth. 2, 17 — **11** Matth. 24, 4. 5. Luk. 21, 8 — **15** I Timoth. 4, 1 — **18** Tit. 1, 14 — **29** vgl. II Joh. 10

A²H V¹P³ M²P¹P²

1 *τολμῆσαι* A² **4** *ἐγγύτεραι* P³ **5** *ἐπεκηρύχθησαν* H **6** *μὲν* > P² **8** *γὰρ*] *δὲ* V¹P³ *γὰρ δὲ* P¹ | *καὶ*³ > V¹ **9** *αὐτοῦ* A² | *ὃ⟨ς⟩* corr. Holl **10** *περὶ*] *ἐπὶ* P² **13** *ὅτι* > A²H (Socr.) | *ὁ καιρός* + *μου* A² **14** *οὖν* > V¹P³ (Socr. Athanas.) **18** *ἀποστρεφόμενοι* H **19** *αὐτοῦ* H **22** *ἀποδείξαντες* + *τε* A²M²P¹P² *αὐτοὺς* > H **23** *τε* > A²H | *ἡμετέρᾳ* P³ **25** *ἡμᾶς* P³ | *προσδέξησθε*, aber *η* aus *α* corr. A² **28** *φρονοῦντας ὡς* > A² | *ὡς*] *ὁς* HV¹P³

›ριος Ἰωάννης. προσείπατε τοὺς παρ' ὑμῖν ἀδελφούς, ὑμᾶς οἱ σὺν ›ἐμοὶ προσαγορεύουσιν.

›Ἀλεξανδρείας πρεσβύτεροι

›Κόλλουθος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις καὶ 21
›τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.

›Ἀλέξανδρος πρεσβύτερος ὁμοίως	Διόσκορος πρεσβύτερος ὁμοίως
›Διονύσιος πρεσβύτερος ὁμοίως	Εὐσέβιος πρεσβύτερος ὁμοίως
›Ἀλέξανδρος πρεσβύτερος ὁμοίως	Σίλας πρεσβύτερος ὁμοίως
›Ἀρποκρατίων πρεσβύτερος ὁμοίως	Ἀγάθων πρεσβύτερος ὁμοίως
›Νεμέσιος πρεσβύτερος ὁμοίως	Λόγγος πρεσβύτερος ὁμοίως
›Σιλβανὸς πρεσβύτερος ὁμοίως	Πιρωοὺς πρεσβύτερος ὁμοίως
›Ἀπὶς πρεσβύτερος ὁμοίως	Προτέριος πρεσβύτερος ὁμοίως
›Παῦλος πρεσβύτερος ὁμοίως	Κῦρος πρεσβύτερος ὁμοίως

›διάκονοι

›Ἀμμώνιος διάκονος ὁμοίως	Μακάριος διάκονος ὁμοίως
›Πιστὸς διάκονος ὁμοίως	Ἀθανάσιος διάκονος ὁμοίως
›Εὐμενὴς διάκονος ὁμοίως	Ἀπολλώνιος διάκονος ὁμοίως
›Ὀλύμπιος διάκονος ὁμοίως	Ἀφθόνιος διάκονος ὁμοίως
›Ἀθανάσιος διάκονος ὁμοίως	Μακάριος διάκονος ὁμοίως
›Παῦλος διάκονος ὁμοίως	Πέτρος διάκονος ὁμοίως
›Ἀμυντιανὸς διάκονος ὁμοίως	Γάϊος διάκονος ὁμοίως

A²H V¹P³ M²P¹P²

1 *ἰῶ* A²HP³ **4** *Κόλουθος* M²P¹P², *ὄλλουθος* d. h. es ist wie öfter *K* rot vorzusetzen vergessen P³ **6** *πρεσβ.²* > (aus Raummangel) A² **6—8** *ἀλέξανδρος πρεσβύτερος ὁμοίως, εὐσέβιος πρεσβύτερος ὁμοίως, ἀλέξανδρος πρεσβύτερος ὁμοίως, διονύσιος πρεσβύτερος ὁμοίως, διόσκουρος πρεσβύτερος ὁμοίως, σίλας πρεσβύτερος ὁμοίως* ∼ H **6f** *διονύσιος πρεσβύτερος ὁμοίως, διόσκορος πρεσβύτερος ὁμοίως* ∼ M²P² (von den Athanas.-HSS hat R *Διόσκουρος Διονύσιος*, B erst umgekehrt, dann aber umgeordnet) **7** *εὐσέβειος* A² **8** *ὁμοίως*¹ > (am Zeilenende) A² **9** *ἀγαθὸς* V¹P³ (Athan.) | *πρεσβ.²* > A² **10** *λογγῖνος* H **11** *πιρωοῦς* corr. aus *πυρωοῦς* A² **12** *πρεσβ.²* > A² **15—21** In der Vorlage von A² waren die Columnen offenbar vertauscht. Daher erscheinen die Namen in A² paarweise umgeordnet; also: *μακάριος διακ. ὁμ. ἀμμώνιος διακ. ὁμ. ἀθανάσιος διακ. ὁμ. πιστός* usf. **17** Die Namen ∼ P³ **19** *Ἀθανάσιος* > P³ **21** *ἀμυντιανὸς* H *ἀμντιανὸς* P² > M² | hier fügt P² *Ἀπολλὼς* ein und läßt ihn S. 40, 2 aus

»Μαρεώτου πρεσβύτεροι

»Ἀπολλὼς πρεσβύτερος ὁμοίως
»Ἀμμωνᾶς πρεσβύτερος ὁμοίως
»Σωστρᾶς πρεσβύτερος ὁμοίως
»Τύραννος πρεσβύτερος ὁμοίως
»Ἀμμωνᾶς πρεσβύτερος ὁμοίως
»Σερῆνος πρεσβύτερος ὁμοίως
»Ἡρακλῆς πρεσβύτερος ὁμοίως
»Ἀγάθων πρεσβύτερος ὁμοίως
Ἰγγένιος πρεσβύτερος ὁμοίως
Διόσκορος πρεσβύτερος ὁμοίως
Θέων πρεσβύτερος ὁμοίως
Κύπρης πρεσβύτερος ὁμοίως
Ὡρίων πρεσβύτερος ὁμοίως
Δίδυμος πρεσβύτερος ὁμοίως
Βόκκων πρεσβύτερος ὁμοίως
Ἀχιλλᾶς πρεσβύτερος ὁμοίως

»διάκονοι

»Σαραπίων διάκονος ὁμοίως
»Δίδυμος διάκονος ὁμοίως
»Μαῦρος διάκονος ὁμοίως
»Κομῶν διάκονος ὁμοίως
»Τρύφων διάκονος ὁμοίως
»Δίδυμος διάκονος ὁμοίως
»Σέρας διάκονος ὁμοίως
»Ἱέραξ διάκονος ὁμοίως
Ἰοῦστος διάκονος ὁμοίως
Δημήτριος διάκονος ὁμοίως
Μάρκος διάκονος ὁμοίως
Ἀλέξανδρος διάκονος ὁμοίως
Ἀμμώνιος διάκονος ὁμοίως
Πτολαρίων διάκονος ὁμοίως
Γάϊος διάκονος ὁμοίως
Μάρκος διάκονος ὁμοίως«.

Τοιαῦτα τοῖς ἁπανταχοῦ κατὰ πόλιν Ἀλεξάνδρου γράφοντος 22
χεῖρον ἐγίνετο τὸ κακόν. ταῦτα γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ τὴν ψυχὴν ὑπεραλγήσας συμφοράν τε οἰκείαν τὸ πρᾶγμα ἡγούμενος, παραχρῆμα τὸ ἀναφθὲν κακὸν κατασβέσαι σπουδάζων, γράμματα πρὸς Ἀλέξανδρον καὶ Ἄρειον διαπέμπεται δι' ἀνδρὸς ἀξιοπίστου.

19—S. **41, 2** vgl. Socr. I 6, 31 p. 22 und I 7, 1 p. 26

A^2H V^1P^3 $M^2P^1P^2$

1 *πρεσβύτερος* und am Rand von dem Corrector π^P *πρεσβύτεροι* P^1 **2** *ἀπολὼς* A^2 *ἀπολὸς* H | *ἰνγένιος* HP^2P^3 *πρεσβύτερος*^{2} > A^2 **4. 6. 8** *πρεσβ.*^{1} > A^2 **7** *σερῖνος* A^2H **8** *βοκὼν* HP^2 *κόκκων* V^1 **9** *ἀγάθωνος* aber der Corrector am Rand π^P *ἀγαθὸς* P^1 *ἀγαθὸς* V^1 Athan. | *ἀχιλᾶς* H | nach *ἀχιλλᾶς* eingefügt *σαραπίων* (so!) *πρεσβ. ὁμ.*, dafür fehlt d. Name Z. 11 unter den Diakonen P^2 **10** *διάκονοι* > H **11** *σαραπίων* $A^2HM^2P^1P^2$ **11 u. 12** Die Namen ~ M^2 **13** *μαῦρος διακ. ὁμ.* > P^3 **14** *κομὼν* V^1P^3 **14—18** *κομῶν διάκονος ὁμοίως τρύφων διακ. ὁμ. δίδυμος διακ. ὁμ. σέρας διακ. ὁμ. ἔρξ διακ. ὁμ. μάρκος διακ. ὁμ. ἀλέξανδρος διακ. ὁμ. ἀμμώνιος διακ. ὁμ. πτολαρίων διακ. ὁμ. γάϊος διακ. ὁμ. μάρκος διακ. ὁμ.* P^2 (d. h. der Schreiber hat von *κομῶν* an vertikal gelesen) **14** *διακ.*^{2} > A^2 **15** Die Namen ~ V^1 | *τράφων* A^2H **16** *πτωλαρίων* V^1P^3 **18** *σέραξ* A^2 *σέβαξ* H *ἔρξ* M^2 *ἕρξ* $P^1(P^2)$ *ἱέραξ* V^1P^3 (Athan.)

ἐπισκόπου πόλεως μιᾶς τῶν Σπανίων Κουρδούβης. ἐπεὶ αὐτὸν ἠγάπα καὶ διὰ τιμῆς ἦγεν ὁ βασιλεύς.

Ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς Ἀλέξανδρον καὶ Ἄρειον διαπεμφθεῖσα διὰ Ὁσίου ἐπισκόπου Κουρδούβης.

»Νικητὴς Κωνσταντῖνος μέγιστος Σεβαστὸς Ἀλεξάνδρῳ καὶ Ἀρείῳ. 4 1
»Μανθάνω ἐκεῖθεν ὑπῆρχθαι τοῦ παρόντος ζητήματος τὴν κατα-
»βολήν, ὅτε σὺ αὐτός, ὦ πάτερ Ἀλέξανδρε, παρὰ τῶν πρεσβυτέρων
»ἐξήτεις, τί δή ποτε αὐτῶν ἕκαστος φρονεῖ ὑπέρ τινος τόπου τῶν
»ἐν τῷ νόμῳ γεγραμμένων, μᾶλλον δὲ ὑπὲρ ματαίου τινὸς ζητήματος
»μέρους συνθάνοιτο, σύ τε, ὦ Ἄρειε, ὅπερ ἢ μήτε τὴν ἀρχὴν ἐνθυ-
»μηθῆναί σε ἔδει ἢ ἐνθυμηθέντα σιωπῇ παραδοῦναι προσῆκον ἦν.
»ἀπροόπτως ἀντέθηκας. ὅθεν τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης 2
»ἡ μὲν σύνοδος ἠρνήθη, ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους
»σχισθεὶς ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη. οὐκοῦν
»ἑκάτερος ὑμῶν ἐξ ἴσου τὴν γνώμην παρασχών, ὅπερ ἂν ὑμῖν ὁ συν-
»θεράπων ὑμῶν δικαίως παραινεῖ, δεξάσθω. τί δὲ τοῦτό ἐστιν; 3
»οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ἐξ ἀρχῆς προσῆκον ἦν οὔτε ἐπε-
»ρωτώμενον ἀποκρίνασθαι. τὰς γὰρ τοιαύτας ζητήσεις πάσας οὐ
»νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλὰ ἀνωφελοῦς ἀργίας ἐρεσχελία
»προτίθησιν· εἰ δὲ καὶ φυσικῆς τινος γυμνασίας ἕνεκα γίνοιτο,
»ὅμως ὀφείλομεν εἴσω τῆς διανοίας ἐγκλείειν καὶ μὴ προχείρως εἰς
»δημοσίας συνόδους ἐκφέρειν, μηδὲ ταῖς πάντων ἀκοαῖς ἀπρονοήτως
»πιστεύειν. πόσος γάρ ἐστιν ἕκαστος, ὡς πραγμάτων οὕτω μεγάλων
»καὶ λίαν δυσχερῶν δύναμιν ἢ πρὸς τὸ ἀκριβὲς συνιδεῖν ἢ κατ' ἀξίαν
»ἑρμηνεῦσαι; καὶ μετὰ βραχέα· οὐκοῦν φευκτέον ἐν τοῖς τοιούτοις 4
»τὴν πολυλογίαν, ἵνα μήπως, ἡμῶν ἀσθενείᾳ τῆς φύσεως τὸ προ-
»τεθὲν ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἡ τῶν διδασκομένων ἀκροατῶν
»βραδυτέρα σύνεσις πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάληψιν ἐλθεῖν μὴ

3 Das Brieffragment nach Socr. I, 7 (Gelasius kürzt), der vollständige Brief bei Eus. V. C. II c. 64ff

A²H V¹P³ M²P¹P²

1 *κουδρούβης* am Rand von anderer Hand A² Socr. *κορδούβης* M² *κουρδούβης* corr. in *κουδρούβης* P³ **4** *κορδούβης* M² *κουρδούβα* (so!) von späterer Hd. corr. in *κουδρούβα* P³ **10** *τε*] *δὲ* M² | *ὅπερ*] *ὁ* P² **11** *σε* > M²P¹P² **12** *προόπτως* P³ **13** *ἡ μὲν σύνοδος ἠρνήθη* > P³ **16** *τί*] *ὅτι* M² **20** *προστίθησιν* A²H Socr. | *δὲ* > A²V¹P³ **23** *πιστεύσειν* V¹ | *ἕκαστον* P¹ **24** *συνειδεῖν* M²P¹ **25ff** Der Text der Vorlage geändert; *ἡ σύνεσις ... χωρήσασα* ist nom. absol. **26** *μήπως* + *ἡ* Eus. Socr. **27** *ἡ*] *ἢ* Eus. Socr. > P³ **28** *βραδυτέρα συνέσει* Eus. Socr.

>χωρήσασα, αὖθις ἐξ ἑκατέρου τούτων ἢ βλασφημίας ἢ σχίσματος
>εἰς ἀνάγκην ὁ δῆμος περισταίη. καὶ μεθ' ἕτερα· τὸ γὰρ διχονοεῖν
>οὔτε πρέπον οὔτε ὅλως θεμιτὸν εἶναι πιστεύεται.

>Ἵνα δὲ μικρῷ παραδείγματι τὴν ὑμετέραν σύνεσιν ὑπομνήσαιμι. 5
>ἴστε δήπου καὶ τοὺς φιλοσόφους αὐτούς, ὡς ἐν ἑνὶ μὲν ἅπαντες
>δόγματι συντίθενται, πολλάκις δὲ ἐπειδὰν ἔν τινι τῶν ἀποφάσεων
>μέρει διαφωνῶσιν, εἰ καὶ τῇ τῆς ἐπιστήμης ἀρετῇ χωρίζονται, τῇ
>μέντοι τοῦ δόγματος ἑνώσει πάλιν εἰς ἀλλήλους ἐμπνέουσιν. εἰ
>δὲ τοῦτό ἐστι, πῶς οὐ πολλῷ δικαιότερον ὑμᾶς τοὺς τοῦ μεγά-
>λου θεοῦ θεράποντας καθεστῶτας, ἐν τοιαύτῃ προαιρέσει θρη-
>σκείας ὁμοψήφους ἀλλήλοις εἶναι; ἐπισκεψώμεθα δὴ λογισμῷ 6
>μείζονι, καὶ πλείονι συνέσει τὸ ῥηθὲν ἐνθυμηθῶμεν, εἴπερ ὀρθῶς
>ἔχει δι' ὀλίγας καὶ ματαίων ῥημάτων ἐν ὑμῖν φιλονεικίας ἀδελφοὺς
>ἀδελφοῖς ἀντικεῖσθαι καὶ τέκνα πατράσι καὶ τὸ τῆς συνόδου τίμιον
>ἀσεβεῖ διχονοίᾳ χωρίζεσθαι δι' ὑμῶν. ἀποστῶμεν ἑκόντες τῶν 7
>διαβολικῶν πειρασμῶν. ὁ μέγας ἡμῶν θεός, ὁ σωτὴρ πάντων, κοινὸν
>ἅπασι τὸ φῶς ἐξέτεινεν. ὕφ' οὗ τῇ προνοίᾳ ταύτην ἐμοὶ τῷ θερα-
>πευτῇ τοῦ κρείττονος τὴν σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγχωρήσατε,
>ὅπως ὑμᾶς τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει καὶ ὑπηρεσίᾳ καὶ
>νουθεσίας ἐνστάσει πρὸς τὴν τῆς συνόδου ἁγίαν κοινωνίαν ἐπαγά-
>γοιμι.

Καὶ μεθ' ἕτερα· περὶ μὲν τῆς θείας προνοίας μία τις ἐν ὑμῖν 8
>ἔστω πίστις, μία σύνεσις, μία συνθήκη τοῦ κρείττονος, ἃ δὲ ὑπὸ τῶν
>ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις ἀκριβολογεῖσθε, κἂν μὴ
>πρὸς μίαν γνώμην συμφέρητε, μένειν εἴσω λογισμοῦ προσήκει τῷ
>τῆς διανοίας ἀπορρήτῳ τηρούμενα. τὸ μέντοι τῆς κοινῆς φιλίας
>ἐξαίρετον καὶ ἡ τῆς ἀληθείας πίστις ἥ τε περὶ τὸν θεὸν καὶ τοῦ

A² A¹ (von Z. 9 τοὺς an = fol. 37ʳ) H V¹P³ M²P¹P²

1 χωρησάντων Eus. Socr. **2** ἀνάγκην] die Endung -κην heute nicht mehr zu sehen A² **4** ἡμετέραν M²P¹ **5** τοῖς φιλοσόφοις P² | ἐν > H **6** ἐν] ἂν P³ **7** εἰ + δὲ H **8** δόγματος] σώματος A²V¹P³ Socr. FM | συμπνέουσιν A²H Socr. Eus. **9** ὑμᾶς /// τοὺς Seitenwechsel A², gleichzeitig setzt wieder A¹ ein **10f** ἐν τῇ τῆς τοιαύτῃ προαιρέσει θρησκείας HM²P¹ ἐν τῇ ταύτης προαιρέσει θρησκείας P² **11** ὁμοψήφους] ὁμοψύχους P³ Socr. Eus. | ἀλλήλους V¹ **13** ὀλίγων P² | ματαίων > P² | ὑμῖν aus ἡμῖν corr. P² **15** διχονοίᾳ] διανοία A¹ | ἀποστῶμεν + οὖν H **17** ὕφ'] ἐφ' A¹HP³ (ἐφ' Socr. ὑφ' Eus.) **19** ὑμᾶς] ἡμᾶς P³ | προσφωνήσει P³ Socr. Eus. προφωνήσει HSS **22** μὲν + οὖν A¹ **24** κἂν] καὶ P³ **25** λογισμῶν A¹ λογισμῶ P³ **27f** τὸν νόμον P²

»νόμου θρησκεία καὶ τιμὴ μενέτω παρ᾽ ὑμῖν ἀσάλευτος. ἐπανέλ- 9
»θετε δὴ πρὸς τὴν ἀλλήλων φιλίαν τε καὶ χάριν, ἀπόδοτε τῷ σύμ-
»παντι λαῷ τὰς οἰκείας περιπλοκάς, ὑμεῖς τε αὐτοὶ καθάπερ τὰς
»ἑαυτῶν ψυχὰς ἐκκαθάραντες αὖθις ἀλλήλους ἐπίγνωτε· ἡδεῖα γὰρ
»πολλάκις γίνεται φιλία μετὰ τὴν τῆς ἔχθρας ἀπόθεσιν αὖθις εἰς
»καταλλαγὴν ἐπανελθοῦσα. ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας 10
»νύκτας δὲ ἀμερίμνους, ἵνα καμοί τις ἡδονὴ καθαροῦ φωτὸς καὶ βίου
»λοιπὸν ἡσύχου εὐφροσύνη σφίζηται. εἰ δὲ μή, στένειν ἀνάγκη καὶ 11
»δακρύοις δι᾽ ὅλου συνέχεσθαι καὶ μηδὲ τὸν τοῦ ζῆν αἰῶνα πράως
»ὑφίστασθαι. τῶν γάρ τοι τοῦ θεοῦ λαῶν, τῶν συνθεραπόντων
»λέγω τῶν ἐμῶν, οὕτως ἀδίκῳ καὶ βλαβερᾷ πρὸς ἀλλήλους φιλονεικίᾳ
»κεχωρισμένων ἐμὲ πῶς ἐγχωρεῖ τῷ λογισμῷ συνεστάναι λοιπόν; ἵνα 12
»δὲ τῆς ἐπὶ τούτῳ λύπης τὴν ὑπερβολὴν αἰσθήσεσθε, ἀκούσατε.
»πρώην ἐπιστὰς τῇ Νικομηδέων πόλει παραχρῆμα εἰς τὴν ἑῴαν
»ἠπειγόμην τῇ γνώμῃ. σπεύδοντι δέ μοι πρὸς ὑμᾶς ἤδη καὶ τῷ
»πλείονι μέρει σὺν ὑμῖν ὄντι ἡ τοῦδε τοῦ πράγματος ἀγγελία πρὸς
»τὸ ἔμπαλιν τὸν λογισμὸν ἀνεχαίτισεν, ἵνα μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν
»ἀναγκασθείην, ἃ μηδὲ ταῖς ἀκοαῖς προσέσθαι δυνατὸν ἡγούμην. ἀνοί- 13
»ξατε δή μοι λοιπὸν ἐν τῇ καθ᾽ ὑμᾶς ὁμονοίᾳ τῆς ἑῴας τὴν ὁδόν,
»ἣν ταῖς πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατέ μοι, καὶ συγχωρή-
»σατε θᾶττον ὑμᾶς τε ὁμοῦ καὶ τοὺς ἄλλους ἅπαντας δήμους ἐπιδεῖν
»χαίροντα καὶ τὴν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας τε καὶ ἐλευ-
»θερίας ὀφειλομένην χάριν ὑπ᾽ εὐφήμοις λόγων συνθήμασιν ὁμολογῆ-
»σαι τῷ κρείττονι«.

Τοιαῦτα μὲν θαυμαστὰ καὶ σοφίας μεστὰ παρῆνει ἡ τοῦ βασιλέως 14
ἐπιστολή. τὸ δὲ κακὸν ἐπικρατέστερον ἦν καὶ τῆς βασιλέως σπουδῆς
καὶ τῆς ἀξιοπιστίας τοῦ διακονησαμένου τοῖς γράμμασιν.

25—27 = Socr. I 8, 1 p. 35

A^1H V^1P^3 $M^2P^1P^2$

1 *καὶ* > V^1P^3 | *ἡμῖν* P^3 **4** *εἰσκαθάραντες* $A^1M^2P^1P^2V^1P^3$ | am Rand *γνώμῃ* A^1HP^2 **5** *ἀπόθεσιν* $M^2P^1P^2V^1$ *ὑπόθεσιν* A^1P^3 Eus. *ἀπόθεσιν* H **10** *τῶν*[1] *τὸν* P^2 **13** *τούτου* P^2 | *αἰσθήσησθε* H *αἴσθησθε* Socr. **15** *ἡμᾶς* P^3 *ἡμῖν* P^3 **18** *προσέσθαι* Socr. $M^2P^1P^2$ *προσεῖσθαι* HV^1P^3. Das Wort am Zeilenanfang zerstört, aber unter der Zeile von spät. Hd. *προσεῖσθαι* A^1 **19** *ἡμᾶς* HP^3 **20** *μοι* > V^1 **21** *συγχωρήσατέ* + *μοι* H **23f** *ὁμολογεῖσθαι* H **25** *καὶ σοφίας μεστὰ* > P^3

Ὅπου ὁ θεοφιλέστατος βασιλεὺς Κωνσταντῖνος σύνοδον ἐπισκόπων ἐπὶ τῆς Νικαέων κελεύει γενέσθαι.

Ὁρῶν τοίνυν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν σύνοδον **5** **1**
οἰκουμενικὴν συγκροτεῖ, τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων
εἰς Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν. ἦν δὲ αὐτῷ ἐξ-
καιδέκατον ἔτος καὶ μῆνες ἐξ τῆς βασιλείας, ὅτε ταῦτα αὐτῷ ὑπὲρ
τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐσπούδαστο. παρῆσαν τε ἐκ πολλῶν **2**
ἐπαρχιῶν τε καὶ πόλεων οἱ ἐπίσκοποι, περὶ ὧν ὁ Παμφίλου Εὐσέβιος
ἐν τῷ τρίτῳ βιβλίῳ τῶν εἰς τὸν Κωνσταντίνου βίον τάδε κατὰ
λέξιν φησίν· τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν,
Λιβύην τε καὶ τὴν Ἀσίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ θεοῦ
λειτουργῶν τὰ ἀκροθίνια· εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ θεοῦ **3**
πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε ἅμα καὶ Κίλι-
κας Φοίνικάς τε καὶ Ἄραβας καὶ Παλαιστινοὺς καὶ ἐπὶ τούτοις
Αἰγυπτίους Θηβαίους Λίβυας τούς τε ἐκ Μέσης τῶν ποταμῶν ὁρμω-
μένους. ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύ-
θης ἀπελιμπάνετο τῆς χορείας· Πόντος τε καὶ Ἀσία Φρυγία τε καὶ
Παμφυλία τοὺς παρ' αὐτοῖς παρεῖχον ἐκκρίτους. ἀλλὰ καὶ Θρᾷκες
καὶ Μακεδόνες Ἀχαιοί τε καὶ Ἠπειρῶται οἱ ⟨δ'⟩ ἔτι προσωτάτω οἰκοῦν-
τες ἀπήντων, αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος Ὅσιος, ἐπέχων
καὶ τὸν τόπον τοῦ τῆς μεγίστης Ῥώμης ἐπισκόπου Σιλβέστρου σὺν
πρεσβυτέροις Ῥώμης Βίτωνι καὶ Βικεντίῳ τοῖς πολλοῖς ἅμα συνε-
δρεύων. τῆς δὲ νῦν βασιλευούσης πόλεως ὁ μὲν προεστὼς Μητρο- **4**
φάνης τοὔνομα διὰ γῆρας ὑστέρει, πρεσβύτεροι δὲ αὐτοῦ παρόντες
τὴν αὐτοῦ τάξιν ἐτέλουν, ὧν ὁ εἷς Ἀλέξανδρος ἦν, ὁ μετ' αὐτὸν
ἐπίσκοπος τῆς αὐτῆς γεγονὼς πόλεως. τοιοῦτον μόνος ἐξ αἰῶνος **5**

3—S. 45, 18 vgl. Socr. I 8 p. 36ff. Aus ihm schöpft Gelasius, nicht aus dem von ihm zitierten Originalbericht des Euseb V. C. III c. 7. 8 — 5 Die Zeitangabe, die bei Socr. fehlt, unter Rückverweisung wiederholt S. 134, 24, wo als Quelle *τὰ παλαιὰ διηγήματα* (s. a. S. 33, 13) angeführt werden. Etwa der S. 5, 20 genannte Johannes?

A¹H V¹P³ M²P¹P²

1 Eine von späterer Hd. geschriebene verstümmelte Randlesart scheint die Capitelüberschrift in anderer Form zu enthalten (fol. 37ᵛ) A¹ | *θεοφιλέστατος* > M²P¹P² | *τῆς*] *τῇ* H **4** *πανταχόθεν* aus *πανταχοῦ* corr. M² **7** *ἐκκλησιαστικῆς* + *ἱστορίας* A¹ **10** *ἁπασῶν*] *πασῶν* V¹ *ἐκπασῶν* P³ **13** *τε καὶ ἅμα* ∾ M² **14** *ἄρραβας* A¹ **14f** *Αἰγυπτίους ἐπὶ τούτοις* ∾ HM²P¹P² **18** *ἐκκρίτους* Socr. *ἐγκρίτους* HSS **19** *ἠπειρῶται*] *οἱ πειρῶται* P³ **20** *ἀπήντων*] *ἀπάντων* H | *σπάνων*] *πάντων* H | *βοώμενος* + *ὁ* V¹P³ **23** *δὲ* Socr.] *τε* HSS **24** *ὑστέρει*] *ἠσθένει* A¹ **25** *Ἀλέξανδρος* — S. 45, 1 *εἷς* am Rand nachgetragen H **26** *πόλεως γεγονώς* ∾ P²

εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ᾽ ἐχθρῶν πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ᾽ ἡμᾶς συστησάμενος. ἐπεὶ καὶ κατ᾽ ἐκείνους συνῆχθαι λόγος ἀπὸ παντὸς 6
ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς, καθὼς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, ἐν οἷς ἐτύγχανον »Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται«, πλὴν ὅσον ἐκείνοις μὲν ὑστέρει τὸ μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας, ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πληθὺς ἦν τριακοσίων ἀριθμὸν ὑπερακοντίζουσα, ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδ᾽ ἦν ἀριθμὸς εἰς κατάληψιν. τῶν δὲ τοῦ θεοῦ 7
λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ, οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσαν δὲ τούτων οἱ μὲν χρόνων μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες, οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. οἷς δὴ πᾶσιν ὁ βασιλεὺς ἐφ᾽ ἑκάστης ἡμέρας τὰ σιτηρέσια 8
δαψιλῶς χορηγεῖσθαι προσέταττε. τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συνελθόντων ὁ Παμφίλου διεξῆλθεν Εὐσέβιος.

Ὅπου ὁ βασιλεὺς συνεδρεύει τοῖς ἐπισκόποις.

Ἐπιτελέσας δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ Λικιννίου ἑορτήν, 6 1
ἀπήντα καὶ αὐτὸς εἰς τὴν Νίκαιαν. τῇ δὲ ἑξῆς πάντες ἅμα οἱ ἐπίσκοποι εἰς ἕνα τόπον συνήρχοντο, παρῆει δὲ καὶ ὁ βασιλεὺς μετ᾽ αὐτούς, καὶ ἐπεὶ παρῆλθεν, εἰς μέσον ἕστη καὶ οὐ πρότερον καθίζειν ἠρεῖτο, πρὶν ἂν οἱ ἐπίσκοποι ἐπινεύσειαν· τοσαύτη τις εὐλάβεια καὶ

4 Act. 2, 5 — **6** Act. 2, 9 — **19**—S. **46**, **1** vgl. Socr. I 8, 12 p. 39 u. I 8, 17 p. 40

A¹H V¹P³ M²P¹P²

4 Die Zeilenanfänge in A¹ oft nicht mehr zu lesen. Das Unleserliche wird im Folgenden durch [ ] markiert | [*λόγος*] A¹ **5** *τὸν*] *τῶν* V¹P³ | [*ἐν ταῖς*] A¹ **6** *πράξεσι* + *δηλοῦται* HM²P¹P² | *ἐν οἷς* > M², aber am Rand von 2. Hd. eingefügt **7** *ὑστέρει τὸ*] M²P¹P² *ὑστερεῖτο* HV¹P³ *ὑστερεῖται* A¹ **8** [*συν*]*εστάναι* A¹ **8f** *ἐπι*[*σκό*]*πων* A¹ **9** *ὑπερακοντίζοῦ ὑπομένων* P³ [*ἑπομ*]*ένων* A¹ **10** *πλεί*-[*στων*] A¹ **11** [*θε*]*οῦ* A¹ **12** [*καὶ*] A¹ **13** [*ἦ*]*σαν* A¹ | *δὲ* A¹ *τε* HM²P¹P²V¹ *τε* corr. aus *δὲ* P³ **14** *νεότητος* HM²P¹P² | [*ψυ*]*χῆς* A¹ **15** [*λειτ*]*ουργίας* A¹ **16** [*τὰ*] A¹ **17** [*μ*]*ὲν* A¹ > M²P¹P² | *ἐκεῖσε* HM²P¹P² **17f** *συνελθόντων*] *συναχθέντων* V¹ **18** *διεξῆλθεν*] *φησὶν* H **19** [*Ὅ*]*που* A¹ **20** [*ἐπιτ*]*ελέσας* A¹ | *ἐπινίκια* H **21** *ἅμα πάντες* ∽ M²P¹P² | *οἱ* A¹ (Socr.) > in den übr. HSS **24** *πρὶν*] *πλὴν* A¹ | *ἐπινεύσειεν* P³

αἰδῶς τῶν ἀνδρῶν τὸν βασιλέα κατεῖχε. πρὸς οὓς ὁ βασιλεὺς ὁ 2
πανεύφημος παραινετικὸν καὶ διδασκαλικὸν προσενήνοχε λόγον εἰς
ὕμνησιν καὶ δοξολογίαν καὶ εὐχαριστίαν τοῦ τῶν πάντων θεοῦ τοῦ
τοσαῦτα αὐτῷ χαρισαμένου, ὧδέ πως λέγων·

Λόγος Κωνσταντίνου Σεβαστοῦ προσφωνητικὸς πρὸς τὴν ἁγίαν σύνοδον.

»Πολλὰς μὲν πρὸς εὐποιίαν τῷ τῶν ἀνθρώπων γένει ἐπιφανε- 7 1
»στάτας ὁδοὺς ἡ τοῦ παντοδυνάμου θεοῦ τρόφιμος δικαιοσύνη ὑπέ-
»στρωσεν, οὐχ ἥκιστα δὲ ἐκείνην τὴν ἐπισημοτέραν καὶ μάλιστα
»ἀστράπτουσαν, ἣν ἐν τῷ κεφαλαίῳ τοῦ ἁγιωτάτου νόμου τῆς καθο-
»λικῆς ἐκκλησίας πᾶσιν ἡμῖν παντὸς θαύματος μεῖζον ἠθροισε, τῆς
»πίστεως τὸ κυριακὸν οἰκητήριον. τούτου δὲ τὴν μὲν κορυφὴν 2
»μέχρι τοῦ φέγγους τῶν ἄστρων ἐληλυθέναι ὁρῶμεν, τοὺς δὲ θεμε-
»λίους ἔτι ἀρχομένου τοῦ ἔργου οὕτως βαθέως καὶ πιστῶς ἐρριζῶ-
»σθαι θείῳ πνεύματι γινώσκομεν, ὡς πᾶσαν τὴν οἰκουμένην αἴσθησιν
»τούτου λαβεῖν. ἀπὸ τῆς κορυφῆς τοίνυν τῆς προειρημένης ἁπα- 3
»σῶν τῶν λοιπῶν ὅλων ὑπερκειμένης ἄχρι τοῦ τέλους τῆς ἐξόδου
»φαίνεται ὁμαλὴ καὶ ἰσόπεδος πορεία τῇ λαμπρότητι τοῦ φωτὸς χρω-
»μένη, ἧς καὶ τὸ μέτωπον ἀστροειδεῖ σφραγῖδι κεκοσμημένον δυοκαί-
»δεκα τὸν ἀριθμὸν κίονες χιόνος λαμπρότεροι, ἀκίνητοι τῇ θέσει τῆς
»πίστεως ἀϊδίως τῇ τῆς θεότητος τοῦ ἡμετέρου σωτῆρος δυνάμει
»βαστάζουσι. τούτου τοίνυν τοῦ τηλικούτου ἔργου ὁ τεχνίτης 4
»προσλαμβάνουσιν ἡμῖν καὶ τὴν ἀπὸ ψυχῆς δικαίαν πίστιν τοῦ ἀθανάτου
»αὐτοῦ νόμου εἰς νοῦν ἔδωκεν ἡμῖν τὴν σεμνότητα· οὗπερ πρὸς τοὺς
»πυλῶνας οὐδὲν ἕτερον εἰ μὴ ἁγνῆς καὶ εὐσεβοῦς ἐπιθυμίας ἐπειγού-
»σης, μόνη καθαρᾶς διανοίας πεποιθήσει πρόσεισιν ὁ βουλόμε-
»νος. τούτῳ δὲ αὐτῷ θαυμαστήν τινα κόσμου λαμπρότητα σωτή- 5
»ριος προσήγαγε λογισμός· λέγω δέ, ἔνδοθεν πίστις ἀνθρώπων διὰ
»παντὸς τοῦ περιβόλου τοῦ κυριακοῦ ἀνθοῦσι στεφάνοις τετιμημένη

6 ff aus dem Buch des Dalmatios; vgl. oben S. 2, 11 — **11 ff** vgl. die Schilderung der Grabeskirche Eus. V. C. III c. 34ff — **27** vgl. Constantins Rede a. d. heil. Versammlung (= Or) p. 187, 19 (Heikel)

A^1 A^2 (von Z. 5 *λόγος* an) H V^1P^3 $M^2P^1P^2$

1 f *ὁ πανεύφημος βασιλεύς* A^1 **4** *ὧδέ* — S. **54, 24** > A^1 ist aber von A^2 nach Schluß von Buch III nachgetragen (vgl. für die näheren Angaben die Beschreibung der HS) **5** *ἁγίαν* > H **6** *ἀποιΐαν* P^3 | *εὐποιίαν τῶν ἀνθρώπων τῷ γένει* P^2 **11** *τὸ* > V^1P^3 | *τούτου*] *τοῦτο* P^3 **13** *ἀρχομένους* $M^2P^1P^2$ **17** *πορείας* M^2 **18 f** *δύο καὶ δέκατον* P^1 *δύο καὶ δέκα τὸν* M^2 **21** *ὁ τεχνίτης* A^2 *οὐ τέχνη τις* d. übr. HSS **22** *πίστιν*] *κρίσιν* $M^2P^1P^2$ **24** *ἀγνοῦς* H **26** *τούτῳ* V^1 *τοῦτο* d. übr. HSS | *αὐτὸ* $HM^2P^1P^2$ **26 f** *σωτηρίου* H **27** *λέγω* Balf.] *λόγω* HSS **28** *κυριακοῦ* + *οἴκου* A^2 | *τετιμημένη*] *πεποικιλμένη* H

›ἀθανασίας καρπὸν ἀθροίζουσα ἁγνοὺς τόνους τῆς ζωῆς τῆς
›ἀνθρωπείας εἰς φανερὸν ἄγουσα ἐπιφανεῖς καθίστησιν. αὖθις
›ἐντεῦθεν ἡ ἔξωθεν οὐράνιος δόξα ἐστεμμένη τοῦ αἰῶνος ἀεὶ τικτο-
›μένου μᾶλλον δὲ φυομένου βραβεῖα ὑπογράφει, καὶ τραφέντα μετὰ
›τοῦ προσήκοντος ἐπαίνου ἅπασαν τοῦ αὐτοῦ ἔργου τὴν τελεσιουρ-
›γίαν κοσμεῖ. · ὁ δὲ αὐτὸς οὗτος ὁ κυριακὸς οἶκος ὑπὸ δύο μόνων 6
›φυλάκων φρουρεῖται· καὶ φόβος μὲν θεῖος πρόσεισι τῇ ἐνίων ἐννοίᾳ
›σωφρονιστήριον, πάρεστι δὲ ἀεὶ καὶ τοῖς εὖ φρονοῦσιν ὁ πρὸς τὸ
›θεῖον ἔπαινος τῆς συνέσεως βραβεῖον· τούτων γὰρ ἑκατέρων ἐπικει-
›μένων τοῖς προθύροις τοῦ ἁγιωτάτου τόπου δικαιοσύνην μὲν αἱ θύραι
›ἀναπεπταμέναι δέχονται, αὕτη τε εἴσω οἰκισθεῖσα μένει ἀκήρατος, τῇ
›δὲ ἀδικίᾳ οὐδὲ θέμις ταῖς θύραις προσελθεῖν, ἀλλὰ ἐξόριστος τούτου
›τοῦ τόπου ἐκκλείεται. ταῦτά με, ὦ τιμιώτατοι καὶ παντὸς ἐπαίνου 7
›ἄξιοι ἀδελφοί, τὰ πράγματα οὕτω σαφῆ εἰς τὴν τοῦ ἀϊδίου καὶ ἀθα-
›νάτου φωτὸς λαμπρότητα ἤγαγεν, ἵνα μὴ πόρρω με ἑστῶτα ἀμφίβολός
›τις ἴσως τῆς ψυχῆς πίστις ἀπεργάσηται τῆς ἀληθείας ἀνάρμοστον.
›Ἀλλὰ τί πρῶτον διαβεβαιώσομαι; πότερον τῆς εὐδαιμονίας τὸν 8
›τύπον, ἥτις εἴσω τοῦ στήθους τοῦ ἐμοῦ συνειλημμένη λανθάνει, ἢ
›τὰς θείας εὐεργεσίας τὰς περὶ ἐμὲ ὑπὸ τοῦ παντοδυνάμου θεοῦ, ἐξ
›ὧν τὸν ἀριθμὸν πολλῶν ἔργων ἱκανὸν γοῦν λέγειν † φανείη ἤδη,
›ὡς τὴν ἐμὴν μετριότητα ὁ αὐτὸς ἡμέτερος θεὸς καὶ πάντων πραγ-
›μάτων πατὴρ εἰκότως ἑαυτῷ κατεδουλώσατο. πιστεύετε, ὦ τι- 9
›μιώτατοι ἀδελφοί, προσλαμβάνοντες ἀκέραιον πίστιν τοῖς λεγομένοις,
›εἰ καὶ τὰ μάλιστα ἡ ἐμὴ διάνοια τῶν θείων εὐεργετημάτων κορε-
›σθεῖσα εὐδαιμονεῖν δοκεῖ καὶ ἀπὸ τ⟨οι⟩ούτου πράγματος ἐξόχους ἐπαί-
›νους πληρῶσαι δύνασθαι φαίνεται. ὅμως, ὅπερ τῆς ἀληθείας ἡ πίστις
›ἐναργῶς δείκνυσιν, οὔτε φωνὴ οὔτε γλῶττα τῷ προστάγματι τῆς
›διανοίας ὑπουργῆσαι ἀρκοῦσι καὶ μάλα εἰκότως. ἀμέτρου γὰρ 10

17 vgl. Or p. 187, 28. 192, 7 — **28** vgl. Or p. 169, 10

A²H V¹P³ M²P¹P²

2 *φανερὸν*] *φῶς* M²P¹P² | *ἄγουσαν* M² **4** *τραφέντα* Subjekt von *κοσμεῖ* **8** *καὶ*>V¹ **9** *ἔπαινος* aus *ἔπαινον* corr. A²M² | *συνέσιος* V¹P³ **12** *τούτου*] *τούτοις* P³ **13** *ἐγκλείεται* H | *με*] *μὲν* H **16** *ἴσως*>P² | *ἀπεργάσητε* P³ **17** *διαβεβαιώσομεν* P² **18** *ἥτις*] *εἴτις* A² | *συνειλημένον* A² (wo aber corr. in *συνηλημμένη*), M²P¹ **19** *ὑπὸ*>V¹ **20** *πολλῶν* + *ὄντων* M²P¹P² | *ἱκανὸν γοῦν* A² *ἱκανὸν οὖν* HV¹P³ *εἰ κἂν ἓν ὧν* M² *εἰ κἂν ἓ ὧν* P² *εἰ κἄν, ἓν ὧν* P¹ | *λέγομεν* HSS. Die Stelle scheint schwer verdorben. Viell. *ἱκανὸν γοῦν λέγομεν ⟨ἕν, ἵνα ἡ εὐσπλαγχνος δύναμις αὐτοῦ⟩ φανείη ἤδη καὶ . . . καταδουλώσαιτο* G. L. *θεοῦ ἐξ⟨ενεχθείσας⟩, ὧν τὸν ἀριθμὸν πολλῶν ⟨οὐσῶν⟩ ἔργον ἱκανὸν γοῦν λέγ⟨ειν⟩ φανείη ἤδη, ⟨δι' ὧν⟩* κτἑ. Holl *λέγειν ⟨ἓν ἂν⟩ φανείη ἤδη, ὡς τὴν* Pasquali **21** *ὡς* Pasq.] *καὶ* HSS **24** *εἰ*] *ἡ* P³ | *εἰ* + *γὰρ* HM²P¹P² | *τὰ*>M²P¹V¹P³ **26** *ὅμως* > P² *ὅ μὲν* P³ **28** *ἀρκοῦσαι* P³

»ὄντος τοῦ μεγέθους τῶν εὐεργεσιῶν ἡ μὲν διάνοια ὑψηλή τις οὖσα
»τοὺς ἀνωτέρω τοῦ σώματος τόπους καταλαμβάνει, ἡ δὲ τῆς γλώττης
»πορεία εἰς στενὸν κομιδῇ τόπον συγκλεισθεῖσα, ἀδόκιμος σχεδὸν (τοῦ) λέ-
»γ(ειν) οὖσα, παντάπασι σιωπᾷ. τίς γὰρ ἡμῶν οὕτω προπετὴς λογισμῷ,
»ἵνα τοιαύτης πεποιθήσεως ἀπορρίψῃ λόγον, δι' οὗ φάναι ἂν τολμή-
»σειε πάνυ εὐκόλως τῷ τὰ πάντα δυναμένῳ θεῷ ἢ καὶ πάντων τῶν
»καλλίστων δημιουργῷ ἐνδόξους ἐπαίνους καὶ ἐπαξίους ἐντελῶς εἰ-
»πεῖν; ὁπότε εἴ τις μόνην τὴν μεγαλοπρέπειαν τοῦ αὐτὸν τετέχθαι 11
»νομοθετήσαντος λογίσαιτο, εἰδὼς ἂν σκοπήσειε μηδὲν δύνασθαι εὑρε-
»θῆναι, ὅπερ ἄξιον θεοῦ λεχθῆναι δυνήσεται. τί τοίνυν τῆς ἐμῆς 12
»μετριότητος τὴν καθοσίωσιν λέγειν ἐχρῆν, εἰ μὴ τοῦτο, ὅπερ ὁ θεῖος
»λόγος τῆς ἀληθείας δείκνυσιν; οὗ τὸ μέγεθος ἥτις μεγίστη προσ-
»κύνησις σκοπησάτω σαφῶς, εἰ καταντῆσαι δυνήσεται ἐν αὐτοῖς τοῖς
»περὶ αὐτοῦ λεγομένοις καὶ οὐδεμία πλάνη αὐτὸν ὀλισθήσει.

»Καὶ εἴθε μοι τῷ ὑμετέρῳ συνδιακόνῳ δαψιλὴς εὐπορία τοῦ λέγειν 13
»ἀρκέσειεν, ἵνα ἐκεῖνα ἄξια ὄντα τοῦ κηρύττεσθαι ἐγκωμιάσω, ἅπερ ὁ
»θεῖος σωτὴρ ὁ ἡμέτερος πάντων τε πραγμάτων φύλαξ τοῖς προσι-
»μίοις τῆς αὐτοῦ παρουσίας, ὁπότε τῆς ἡμετέρας λυσιτελείας ἕνεκα
»ἁγνοῦ σώματος οἰκητήριον κατηξίωσεν ἐκ παρθένου λαβεῖν, πᾶσιν
»ἀνθρώποις δίδαγμα τοῦ παρ' αὐτοῦ οἴκτου δηλῶν, γαληνῷ νεύματι
»τῆς αὐτοῦ θεότητος ἔδειξε. τίνος ἄρξομαι ἄρα; ἀπὸ τῆς αὐτοῦ 14
»διδαχῆς καὶ σεμνότητος; ἀλλὰ ἀπὸ θείων διδασκαλιῶν, ὧν αὐτὸς δι'
»ἑαυτοῦ μηδενὸς διδάσκοντος μόνος διδάσκαλος πέφηνεν; ἀλλ' ὅπως
»ἀνέπνευσαν διὰ τῆς αὐτοῦ προνοίας τοσοῦτοι δῆμοι, ὅσους οὐδὲ
»ἀριθμῷ περιλαβεῖν οἷόν τε, μικρᾷ τινι τροφῇ καὶ ἐλαχίστοις σιτίοις
»καὶ μόνοις δύο ἰχθύσι τῇ τούτου θείᾳ προνοίᾳ, καὶ Λαζάρου μετὰ 15
»τὴν τελευτὴν βραχείᾳ τινὶ ῥάβδῳ ἀνάστασιν πεποίηκε καὶ εἰς τὴν
»τοῦ φωτὸς λαμπρότητα αὖθις ἀνήγαγε; πῶς δ' ἂν εἴποιμι τὴν 16
»ἁγνὴν αὐτοῦ θεότητα, δι' ἧς γυναῖκά τινα ἀπορρητοτέρως (νοσοῦσαν)
»θεασάμενος καὶ τῆς ἑαυτοῦ ὁμιλίας μόνης καταξιώσας, ὑγιᾶ τε αὖθις
»καὶ παντὸς νοσήματος ἐλευθέραν ἔδειξε; τίς δ' ἂν κατ' ἀξίαν εἴποι 17

21 vgl. Luk. 2, 47. Or a. a. O. — **23** vgl. Joh. 6, 9 — **26** vgl. Joh. 11, 43 — **28** vgl. Mark. 5, 25

A²H V¹P³ M²P¹P²

3 *ἀδόκιμος* mit M²P¹P² *δόκιμος* d. übr. HSS **3 f** *λέγουσι* H *λέγουσα* d. übr. HSS corr. Holl **4** *σιωπᾶν* A² **8** *μόνην* > P² **9** *νομοθετῆσαι* HM²P¹P² | *μηδὲν*] *μὴ δὲ* M² *μὴ* V¹ **10** *ὅπερ*] *ἅπερ* A² | *δυνήσηται* **13** ebenso A² **14** *αὐτὸν* (sc. *τὸν προσκυνοῦντα*) dem Sinne nach statt *αὐτὴν* (sc. *τὴν προσκύνησιν*) **15** *ἡμετέρῳ* A²M²P²V¹P³ **19** *πᾶσι λαβεῖν* ∾ H **22** *ἀλλὰ* + *καὶ* H **26** *τῇ τοῦ θείου προνοίᾳ* H **27** *ῥάβδῳ*] *ῥήσει* HM²P¹P² **29** corr. Holl **30** *τε* > M² **31** *καὶ* > P²

»αὐτοῦ τὸ ἀθάνατον ἔργον, δι' οὗ τις συνεχεῖ καὶ μακρᾷ νόσου τηκε-
»δόνι ἀναλωθεὶς καὶ τῶν μελῶν αὐτοῦ χυθέντων καὶ διασπασθέντων
»ὅλων κείμενος ἄφνω θείῳ ἰάματι ῥωσθεὶς αὐτὸ τὸ σκιμπόδιον, ἐφ'
»ᾧ ἔκειτο, τοῖς ὤμοις ἐπέθηκε καὶ εὐχαριστίας ἐπαίνους διαχέων διά
»τε τῆς πατρίδος καὶ τῆς ἐνορίας διέδραμεν; ἀλλὰ τὸ θεῖον αὐτοῦ 18
»καὶ σταθηρὸν βάδισμα, ὡς ἐπιβαίνων τὴν ἀγρίαν θάλατταν κατα-
»πατήσας ἐπέζευσε καὶ τοῖς θείοις ἴχνεσι τῆς βαθυτάτης θαλάττης
»τὴν ὑγρότητα ἔπηξε καὶ διὰ μέσου πελάγους οὐδενὶ μέτρῳ βαθύτητος
»περιοριζομένου ὥσπερ διὰ γῆς τὴν πορείαν ἐποιήσατο; ἀλλὰ τὴν 19
»ἠπίαν αὐτοῦ ἀνεξικακίαν, δι' ἧς νικητὴς ὢν ἐν πᾶσι τῶν ἀνοήτων
»δήμων τὴν αὐθάδειαν ἐδάμασε καὶ δαμασθεῖσαν πόρρω ἀπ' αὐτῶν
»διαχωρίζων τὴν ἀγριότητα τῷ νόμῳ ὑπέταξεν; ἀλλ' ἐκεῖνα τὰ 20
»ὑπέρλαμπρα καὶ μέγιστα τῆς αὐτοῦ θεότητος, οἷς ζῶμεν, οἷς εὐδο-
κοῦμεν οἵτινες τῆς μελλούσης εὐδαιμονίας τὴν ἐλπίδα οὐ μόνον
»προσδοκῶμεν ἀλλ' ὥσπερ τινὶ τρόπῳ ἤδη κατέχομεν; τί πλέον 21
»τολμῶ λέγειν καὶ μετ' αὐτῆς τῆς μικρᾶς τοῦ λόγου παρασκευῆς, εἰ
»μὴ μόνον τοῦτο, ὅπερ τῆς ἐμῆς καθωσιωμένης ψυχῆς συνεῖναι χρή,
»τὴν καθαρότητα, ὁποῖος τοίνυν ἐστὶν ὁ παντοδύναμος θεός, ὁ τὸν
»οὐρανὸν οἰκῶν, καὶ περὶ πᾶν τὸ ἀνθρώπινον γένος, μάλιστα δὲ καὶ
»ἐξαιρέτως περὶ τὴν καλλίστην καὶ παντὸς ἐπαίνου μείζονα δικαιοσύ-
»νην, ὁπότε καὶ τοῦ ἰδίου θείου πνεύματος τὸ ἁγιώτατον κατ' ἀξίαν
»σῶμα ἐνοικεῖν τε αὐτῷ καὶ οὕτω σωτηριῶδες τοῖς ἀνθρωπίνοις
»σώμασιν εἶναι κατηξίωσεν.

»Ἐπειδὴ οὖν περὶ τῆς οὕτω ἁγιωτάτης καὶ σωτηρίου τῆς πάντα 22
»δυναμένης θεοῦ τάξεως ἄμετρος τῶν ἐχθρῶν μανία ὥσπερ ἀχλύϊ
»τινὶ συγκεχυμένη ἐπολεθρίου σκαιότητος ἑρμηνείαν ποιεῖσθαι οὐκ
»ἀμφιβάλλει, διὰ βραχέων, εἰς ὅσον ἡ πίστις καὶ ἡ καθοσίωσις τῆς
»ψυχῆς τῆς ἐμῆς τοῦ λέγειν εὐπορίαν δαψιλεύεται, διηγήσασθαι πει-
»ράσομαι. καὶ γὰρ αἱ τούτων τῶν ἐθνῶν κακόνοιαι τοιοῦτον γένος 23
»εἰσάγουσιν ἀναισχυντίας, ὥστε ἀσεβεῖ στόματι μὴ φοβηθῆναι εἰπεῖν
»τὸν θεὸν τὸν πάντα δυνάμενον πάντα τὰ τῷ θείῳ νόμῳ δηλούμενα

1 vgl. Joh. 5, 5ff — **5** vgl. Joh. 6, 16ff. Or p. 175, 9

A²H V¹P³ M²P¹P²

1 *μικρᾷ* P³ | *νόσου* corr. aus *νόσῳ* H **4** *ἐπαίνου* A² | *διαχέων*] *διὰ βραχέων* H **6f** *καταποντήσας* V¹ **7** *ἐπέζευξε* coni. Heikel Krit. Beitr. S. 22 **10** *ἠπίαν*] *ὁποίαν* M²P¹P² **11** *πόρρω αὐτῶν*, aber am Rand *ἀπ' αὐτῶν* H **13** *οἷς*²] *ὡς* H **17** *καθοσιωμένης* HP² **19** *περὶ* > P³ **22** *ἐνοικοῦν τε αὐτῷ* HSS, corr. Friedl. **29** *αἱ* corr. in *ἡ* A² | *ἐθνῶν* A²V¹P³ *ἐχθρῶν* HM²P¹P² **30** *εἰσάγει* A²V¹P³ **31** *παντοδυνάμενον* HV¹ | *πάντα*² > M²P¹P²

»μήτε πεποιηκέναι μήτε ποιῆσαι βεβουλῆσθαι. ὧν τῆς τοιαύτης ἀσε- 24
»βοῦς φωνῆς τῆς κατ' ἀξίαν ἅπασαν ὑπερβολὴν τιμωρίας καθ' ἑαυτῆς
»ἀπαιτούσης· ὄντως ἐμμανῶς καὶ τολμηρῶς τῆς θείας ταύτης εὐ-
»εργεσίας τὴν δόξαν τὴν μηδενὶ τῶν ἀνθρώπων περιληφθῆναι δυνα-
»μένην ἀφανῆ καταστῆσαι ἐπιθυμεῖ. τί γὰρ μᾶλλον ἢ ἀγνώτης ἄξιον 25
»τοῦ θεοῦ; ἥτις ἐκ τῆς ἁγιωτάτης ὁμιλίας μετὰ τῆς πηγῆς τῆς
»δικαιοσύνης προελήλυθε καὶ διὰ πάσης τῆς περιόδου τῆς οἰκουμένης
»ἐπλήμμυρε καὶ τὰς δυνάμεις τῶν ἁγιωτάτων ἀρετῶν τοῖς ἀνθρώ-
»ποις ἐπέδειξεν, ἅσπερ ἑαυτοῖς πρῶτον ἐχθρὰς νομίσαντες ⟨ἔπαθον τὰ⟩
»τῶν Ἀσσυρίων· οἷς προηγουμένου τοῦ φαύλου παραδείγματος καὶ τὰ
»λοιπὰ ἔθνη συνθέσθαι αὐτοῖς ἀνεπείσθη. ἐν οἷς, ὥσπερ ἡμεῖς 26
»ἰδίᾳ θεωρίᾳ δοκιμάζομεν, τὸν τοῦ σωτῆρος ἡμῶν θεοῦ θεῖον ὁρῶ-
»μεν συνεργεῖν οἶκτον, ὁπότε καὶ καθ' ἡμέραν καὶ κατὰ χρόνους
»πολλοὺς ἐξ αὐτῶν πυρώδους μανίας οἰστρ⟨ῳ ἐλαυνομένους⟩ ὁ αὐτὸς
»εἰς τὴν τοῦ σωτηριώδους ἰάματος ἀνεξικακίαν ἐκέλευσεν ἀνή-
»κειν. καὶ οὐδὲ οὕτως τοῖς λοιποῖς τῆς τοιαύτης εὐεργεσίας τὸ
»μέγεθος δύναται πρὸς χάριν ἐλθεῖν ⟨διὰ⟩ τὴν παρὰ ἀνθρώποις
»ἄγνοιαν τὴν θείαν δυναστείαν δύνασθαι πάντα λόγον ὑψῶσαι καὶ εἰς
»ὕψος ἀρθέντα βεβαιώσασθαι ⟨καὶ⟩ αὖθις καθελεῖν καὶ διαλῦσαι. ἀλλὰ 27
»μᾶλλον τοῖς ἀνθρωπίνοις πράγμασιν ἐναντίως ἂν ἀπέβη, εἰ ⟨μὴ⟩ ὁ θεὸς
»ὁ τὰ πάντα δυνάμενος σιωπηρῷ τῆς αὐτοῦ θεότητος νεύματι πάντα
»πράττειν προέθετο. μᾶλλον γὰρ ἂν ἡ τῶν ἀνθρώπων μανία ἐγένετο
»συχνή, καὶ ἡ ἀνθρωπεία ⟨αὐθάδεια⟩ οὐκ ἔχουσα πέρας πάσας ἂν τὰς
»ψυχὰς ἐπόρθησεν. οὐδὲ ἂν τὰ ἄλλα πλεῖστα ὄντα, ἅπερ ἐν τῇ τοῦ κόσμου
»ἀναστροφῇ τὴν ἰδίαν λειτουργεῖ τάξιν, ἀναφανῆναι δεδύνηται· ἀλλ' 28
»ὁμοῦ πάντα μετὰ τῆς ἀγνοίας τοῦ θείου ταχέως ἂν ἀπωλώλει, τοῦ
»δὲ φθόνου καὶ τῆς βασκανίας τὸ ἄδικον οὐχ ὡς ἐν ὀλίγοις μεμενή-
»κει ἀλλ' οὐδεὶς ἂν ηὑρέθη ταύτης τῆς βασκανίας ἀλλότριος, τῶν θρη-
»σκειῶν τὰ γένη παντοίων εἰς τοσοῦτον μεγάλως τε καὶ πλατέως εἰς
»τὰς ψυχὰς τῶν ἀνθρώπων διαχυθέντων, ὡς ἀξίως τῇ τούτων αἰσχρό-

A²H V¹P³ M²P¹P²

1 τῆς > A² **3** ἐπαιτούσης P³ | ὄντως] ὄντως V¹ οὕτως P³ **4** δόξαν τὴν > P² **5** ἥ] ἣν M² **7** πᾶσαν P³ **9** ὑπέδειξεν HM²V¹P² | ἐχθρὰς πρῶτον ~ A² | πρότερον H | πάθει HSS **10** ἀσυρίων H **14** οἰστρουμένης HSS (viell. οἰστρουμένου A² zu der Änderung vgl. Eus. V. C. p. 134,7) **15** ἀνεξικακία P³ **17** ⟨διὰ⟩ G. L. **18** δύνασθαι von ἄγνοιαν abhängig? Oder Lücke hinter ἄγνοιαν? **19** ⟨καὶ⟩ G. L. **20** ⟨μὴ⟩ Ltz. **21** σιωπηρῷ] vielleicht σωτηρίῳ Ltz. **22** ἡ > P³ | ἐγίνετο HP² **23** ⟨αὐθάδεια⟩ G. L. **25** δύναται A² **26** μετὰ] μεστὰ V¹ μὲν P³ | τῆς > H | ἀπωλώλει A² ἀπολώλει d. übr. HSS **27** τὸ — **28** βασκανίας > aber am Rand nachgetragen A² | ὄντως ἐν A²HM²P¹P² οὕτως ἐν V¹P³ οὐχ ὡς ἐν corr. Friedl **29** παντοίων H > d. übr. HSS **30** zu διαχυθέντων vgl. das zu 24, 29 Angemerkte

»τητι τὸ φῶς ταύτης τῆς ἡμετέρας λαμπρότητος ἐπισκιασθῆναι
»αὐτοῖς ἀεί τ᾽ αὐτῆς αὐτοὺς στερίσκεσθαι. οὐδεὶς οὖν λόγος δυνή- 29
»σεται τῶν εἰρημένων τὴν ἐμὴν πίστιν ἀπὸ τῆς ἐμῆς ἐξέλκειν ψυχῆς.
»ἕπεται γὰρ αὐτῇ μηδενὸς φαύλου ἐμποδὼν ὄντος δύναμις τελεία, ὁ
»ζῶν τῆς ἀληθείας λόγος, εἷς πάντα δυνάμενος, φύλαξ πάντων πραγ-
»μάτων, τῆς ἡμετέρας σωτηρίας κηδεμών. οὗτος οὖν δοκεῖ τινι
»τρόπῳ τοῦ ἁγιωτάτου αὐτοῦ λόγου δαψιλεύεσθαι τὴν ὁμιλίαν * τοῦ
»ἐλευθεροῦντος διαφυλάττειν καὶ τοῦ φωτὸς τὴν λαμπρότητα ἡμῖν
»παρέχειν.

»Τίνος τοίνυν ἕνεκα καὶ νῦν πάντων τῶν ἐθνῶν οἱ δῆμοι τὸ 30
»οὐράνιον μὴ καθορῶντες φῶς καὶ τοῦ ἐνδοξοτάτου ὁσίου ὑπερφρο-
»νοῦντες, τὸ γήϊνον ἐπιζητοῦσιν οὐδεμίαν ἔχον ὑπόστασιν ἀληθείας
»οὐδὲ φαιδρότητα ἁγνῆς λαμπρότητος οὐδὲ δυναστείαν τῆς οὐρανίου
»θεότητος; ὦ ἀναξίου δράματος· ἔτι καὶ νῦν μηδὲν ἐλλείποντες 31
»τῆς ἀσεβείας μηδὲ πρὸς τὸ δέον ἀφορῶντες, ὑπὸ τῆς ἀθλίας πλάνης
»καταπίπτοντες οὐχ ὁρῶσι· καὶ τοῖς ῥυπαροῖς τούτοις ἔργοις τοῖς
»τοῦ κόσμου τὴν λαμπρότητα οὐ παύονται μιαίνοντες, δηλαδὴ ξύλον
»καὶ λίθον καὶ χαλκὸν καὶ ἄργυρον καὶ χρυσὸν καὶ ταύτας τὰς γηΐνας
»⟨ὕλας⟩ εἰς τὸ προσκυνεῖν καθιδρύντες καὶ ἀπὸ τούτων ἐλπίδα τῆς
»ζωῆς ἐπαγγελλόμενοι, ναοὺς αὐτοῖς μετὰ ἐπισήμου κόσμου οἰκοδο-
»μοῦντες καὶ ἀπὸ τούτου οὕτως αὔξοντες αὐτῶν τῆς προσκυνήσεως
»τὰς προσθήκας, ἐπειδήπερ τὸ μέγεθος τῶν οἰκοδομημάτων ὑπ᾽ αὐτῶν
»γενομένων ἄξιον τῆς ἑαυτῶν ὄψεως παρέχεται τὸ θαῦμα. ὁπότε 32
»τοίνυν ταῦτα ποιεῖν δοκοῦσι, σαφῶς νοεῖται, εἰ καὶ τὰ μάλιστα αὐτοὶ
»οὐκ αἰσθάνονται οὐδὲ ὁρῶσιν ὑπερηφάνως, ὅτι τοῖς ἑαυτῶν ἔργοις
»αὐχεῖν δοκοῦντες ἁλίσκονται. ἡλίκος τοίνυν καὶ πόσος τε ὁ θεός
»ἐστιν ὁ πάντων δυνάστης οὐχ † ὁρώμενος, τίς καὶ πάντων αὐθέν-
»της ἐστὶ καὶ κριτής, ὃν τινες αὐτῇ τῇ πεποιθήσει τῆς ἰδίας, ὡς
»νομίζουσιν, ἀρετῆς ⟨ὑβρίζοντες ἑαυτοὺς⟩ λανθάνουσιν. αὐτοῦ γὰρ τῇ 33
»διατυπώσει καὶ τὸ εἶδος τοῦ ἡμετέρου σώματος ἔλαβε τὸν ὀφειλόμενον

A²H V¹P³ M²P¹P²

1 ἐπισκιασθὲν HSS **2** τ᾽ αὐτῆς] ταύτης HSS **5** εἷς] εἰς H | δυνάμενα H | πάντων + τῶν H **6** οὕτως HSS **7** τρόπῳ τοῦ αὐτοῦ λόγου τοῦ ἁγιωτάτου ∾ A² | etwa ὁμιλίαν, ⟨τὴν γνῶσιν⟩ τοῦ Ltz. **9** παρέχει P³ **15** ὑπὸ] ἀπὸ P² | τῆς > V¹ **18** καὶ ἄργυρον καὶ χαλκὸν ∾ A² **19** ⟨ὕλας⟩ G. L. **20** ἀπαγγελλόμενοι A²P³ **23** γενόμενον HSS | τὸ nachträglich eingefügt H **24** αὐτοὶ] αὐτοῦ M² **26** αὐχεῖν] ἔχειν H **27** ἐστὶν ὁ θεός ∾ P² | ὁ πάντα δυνάστης M²P¹P²V¹A² (wo aber corr. in ὁ πάντων δυνάστης), P³ ὁ τοῦ παντὸς δυνάστης und am Rand ὁπάντων H | † etwa οὐχ ⟨ὁρῶσιν οὐδὲ γινώσκουσιν⟩ G. L. οὐχ ὁρῶσιν, ὅστις καὶ Ltz. **29** corr. Ltz.

›τύπον, καὶ ἵνα σχῶμεν τῆς ἁρμονίας τὴν ἀκμήν, ὁ αὐτὸς τῶν πάντων
›μελῶν τὴν συζυγίαν ἰσχυροτάτοις νεύροις συνέδησεν, ἵνα ἐν πάσῃ πρά-
›ξει τῆς ἡμετέρας σπουδῆς ἀκάματον ἔχοιμεν τὴν ἀκμὴν τῆς οἰκείας
›ἁρμονίας. τούτων τοίνυν σωτηριώδει διατυπώσει τελεσιουργηθέν-
5 ›των καὶ πνεῦμα ἡμῖν, ἵνα ταῦτα πάντα κινεῖσθαι δύναιτο καὶ ἀκμά-
›ζειν, ἐνέπνευσε καὶ θέαν τοῖς ἡμετέροις ὀφθαλμοῖς συνεχώρησε καὶ
›πρὸς σύνεσιν τῇ ἡμετέρᾳ κεφαλῇ δέδωκε καὶ εἴσω τῆς χώρας ταύτης
›πάσης τῆς διανοίας τῆς ἡμετέρας τὸν λογισμὸν συνέκλεισε. τοι- 34
›γαροῦν εἴ τις εὖ φρονῶν ταύτης τῆς διατυπώσεως τὸν λογισμὸν
10 ›σκοπήσειε, τὰ δὲ λοιπὰ παύσειεν, ἃ μήτε λόγῳ μήτε ἀριθμῷ περι-
›ληφθῆναι δύναται, ταχείᾳ ἐνθυμήσει καὶ ἰδεῖν καὶ συνιέναι δυνήσεται
›τὴν αἰώνιον καὶ σωτηριώδη τοῦ ἀθανάτου θεοῦ ἐξουσίαν καὶ οὐ
›δυνήσεται ἐκεῖνον πλάνης τινὸς χωρὶς† ἄνθρωπος ἐνδῆσαι, ὑπότε
›σαφῶς αὐτῷ ἔξεστι καὶ ἰδεῖν πάντα τὰ γεγονότα εἶναι δυνάμει τοῦ
15 ›θεοῦ, ὡς αὐτὸς πάντα ταῦτα εἶναι βεβούληται.

›Ἵνα δὲ εἴη ἰδεῖν, ὅτι τις ἀθέμιτος κόσμου πολιτεία τὴν τοῦ 35
›θεοῦ ἀγνωσίαν τοῖς ἀνθρώποις ἀπειργάσατο, λογισμοῦ ἁμαρτήματος
›προτέρου τεχθέντος ἐκ πλάνης τοῦ ἐχθροῦ ἐν ταῖς τῶν σκαιῶν
›ἀνθρώπων ἀθλίαις ψυχαῖς, ἐκ τοῦ θείου νόμου λαβεῖν ἡμᾶς ἔνεστι
20 ›σαφῆ τὴν περὶ τούτου ἀπόδειξιν. ἐξ ἐκείνου γὰρ καιροῦ, ἐξ οὗ 36
›ὑπὸ τῶν δύο ἐκείνων τῶν ἐν ἀρχῇ κατασταθέντων τὸ θεῖον καὶ
›ἅγιον πρόσταγμα μετὰ τῆς προσηκούσης ἐπιμελείας οὐκ ἐφυλάχθη,
›ἐτέχθη μετὰ ταῦτα τῆς προσηγορίας ταύτης τὸ ἄνθος· γέγονε δὲ
›συνεχὲς καὶ μᾶλλον ἐπηύξησεν, ἐξ οὗ καὶ οἱ προειρημένοι δύο θείῳ
25 ›νεύματι ἀπεβλήθησαν· ἕως δὲ τοσούτου ἡ ὕλη αὐτὴ μετὰ τῆς σκαι- 37
›ότητος τῶν ἀνθρώπων προήχθη, ὥστε τῆς τε ἑῴας καὶ τῶν πρὸς
›δύσιν κρηπίδων κατεψηφίσατο· αὐτή τε ἡ ὑπερβολὴ τῆς ἐναντίας
›δυνάμεως τὰς διανοίας τῶν ἀνθρώπων κατέλαβε καὶ ἠμαύρωσεν.
› * ἐν ᾧ μέντοι προστάγματι ἅγιος καὶ ἀθάνατός ἐστι τοῦ τὰ πάντα 38
30 ›δυναμένου θεοῦ ὁ ἀκάματος οἶκτος. πάσαις γὰρ ταῖς ἡμέραις καὶ
›τοῖς χρόνοις τοῖς παρεληλυθόσιν ἀναριθμήτους τῶν δήμων πολυ-

A²H V¹P³ M²P¹P²

3 *οἰκίας* A²HV¹P³ **5** *πάντα ταῦτα* ∼ H **5f** *καὶ ἀκμάζειν δύναιτο* ∼ M²P¹P²V¹P³ **7** *πρός* = Adv. dazu | *ταύτης* — **8** *ἡμετέρας* > A² **10** *δὲ*] *δή* P³ **11** *συνεῖναι* V¹ *συνίναι* P³ | *δύναται* P³ *δύνηται* V¹ **12** *σωτηριώδει* A² **13** *χωρὶς*] lies etwa *σειραῖς* oder *σχοινίοις* Ltz. | *ὑπότε*] A²HM²P¹P² *σέ ποτε* V¹ *σέπεται* P³ (*σκέπτεσθαι* Balf.) **15** *ταῦτα πάντα* ∼ P² | *βούλεται* HM²P¹P² **19** *ἀθλίως* HV¹P³ **23** *ταῦτα* > M²P¹P² | *προσηγορίας* nämlich *ἁμαρτήματος* vgl. Z. 17 **24** *δύο* nachträglich eingefügt A² **26** *τε* > HP² | *τῶν*] *τῆς* H

»πληθείας ἀπὸ τοῦ βάρους τούτου δι' ἐμοῦ τοῦ αὐτοῦ θεράποντος ὁ »θεὸς δεδουλωμένας ἐλευθεροῖ, καὶ εἰς ἐντελῆ αἰωνίου φωτὸς ἐξάξει »λαμπρότητα. ἀπὸ τούτων τοιγαροῦν ἐγώ, ἀδελφοὶ ποθεινότατοι, »οἰκειοτέρᾳ τινὶ προνοίᾳ καὶ ἐνδόξοις εὐεργεσίαις τοῦ ἀθανάτου καὶ »ἡμετέρου θεοῦ τὸ λοιπὸν ἐπισημότερος εἶναι τῇ πρὸς αὐτὸν καθα»ρωτάτῃ πίστει πέποιθα.

»Δεξάσθω τοιγαροῦν με ἡ ἁγνοτάτη σύνοδος τῆς ὑμετέρας ἁγιό- 39
»τητος, καὶ μή μοι τὴν σωφρονεστάτην ἐκκλησίαν καὶ τῆς ἁγνῆς »κοινῆς τε πάντων ἡμῶν μητρὸς τὰς θύρας ἀντιτεθῆναι ἀνάσχησθε. »εἰ καὶ τὰ μάλιστα καὶ νῦν ὁ λογισμὸς τῆς ἐμῆς ψυχῆς ἐντελῆ τὴν »καθαρότητα τῆς καθολικῆς πίστεως ἐπιζητῶν, τοῦτο ἑαυτῷ γενέσθαι »οὐκ οἴεται εἶναι ἄξιον, ὅμως προτρέπει καὶ ὑπομιμνήσκει, καὶ τὸ »μέτωπον τῆς οἰκείας αἰδοῦς πασῶν τῶν καλλίστων ἀρετῶν ἐξενή»νοχε σφραγῖδα, καὶ τῶν πυλών(ων) τῆς ἀθανασίας ἤρξατο ἅπτεσθαι »καὶ τούτους κρούειν, ὅπως καὶ ὑμεῖς τῆς ὑμετέρας ἀδελφότητος εὐθὺς »συγχωρῆσαι τὴν εὔνοιαν καταξιώσητε εἰς μίαν ὁμόνοιαν καὶ εἰρήνην »τῆς καθολικῆς πίστεως βλέψαντες. τοῦτο γὰρ τῷ θεῷ πρεπῶδες 40
»καὶ τῇ τῆς καθολικῆς ἐκκλησίας πίστει ἁρμόδιον καὶ τῷ κοινῷ τῶν »πραγμάτων συμφέρον, ἵνα τῆς θεόθεν ἡμῖν παρασχεθείσης ἐντιμο»τάτης εἰρήνης ἀξίαν ἀμοιβὴν τῷ ταύτην ἡμῖν χαρισαμένῳ κοινῶς »ἅπαντες προσενέγκωμεν. δεινὸν γὰρ ὡς ἀληθῶς ἂν εἴη καὶ ἄγαν 41
»δεινὸν καταλυθέντων τῶν πολεμίων καὶ μηδενὸς ἀντιτείνειν ἔτι »τολμῶντος, βάλλειν ἡμᾶς ἀλλήλους καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ »γέλωτα προξενεῖν, ἄλλως τε [δὲ] καὶ περὶ θείων διαλεγομένους »πραγμάτων καὶ τοῦ παναγίου πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον »ἔχοντας. εὐαγγελικαὶ γὰρ βίβλοι καὶ ἀποστολικαὶ καὶ τῶν παλαιῶν »προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς, ἅπερ χρὴ περὶ τοῦ θείου »φρονεῖν, ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ »τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν«.

9 vgl. Gal. 4, 26 — **21—29** vgl. Thdt. I 7, 11. 12 p. 32

A^2H V^1P^3 $M^2P^1P^2$

4 f *ἡμετέρου καὶ ἀθανάτου* ∾ V^1 **7** *με* > M^2 | *ἁγιωτάτη* P^3 | *ἡμετέρας* H **9** *κοινῆς* > $M^2P^1P^2$ | *τε*] *καὶ* A^2 | *ἀνάσχοισθε* $A^2M^2P^1P^2$ | wohl *ἀντιταθῆναι* Ltz. **11** *ἑαυτῷ*] *ῥᾶστα* H | *ἑαυτῷ* + *ῥᾶστα* $M^2P^1P^2$ **14** *πυλώνων* wegen des folgenden *τούτους* G. L.; *πυλῶν* HSS **15** *ἡμεῖς* A^2 | *ἡμετέρας* corr. in *ὑμετέρας* A^2 *ὑμετέρας* $P^1P^2V^1$ *ἡμετέρας* d. übr. HSS **16** *ἄνοιαν* P^2 | *καταξιώσητε — ὁμόνοιαν* > P^3 **22** *μηδενὸς*] *μηδὲν* V^1 **24** *διαλεγομένους* P^3 **28** *πολεμοποιὰν* A^2V^1 *πολεμοποιοῦν* P^3 | *οὖν* > P^3

Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ὁ πάνσοφος βασιλεύς, οἷα δὴ 42
παῖς φιλοπάτωρ, τοῖς ἱερεῦσιν ὡς πατράσι προσέφερε, τῶν ἀποστο-
λικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. τῆς δὲ συνόδου
τῶν συνελθόντων ἐπὶ τὸ αὐτὸ ἐπισκόπων — τριακόσιοι δὲ ἦσαν δέκα
καὶ ὀκτώ· ἀλλ' οἱ μὲν τριακόσιοι καὶ πρὸς τοῖς λεγομένοις ἐπείθοντο
καὶ τήν τε πρὸς ἀλλήλους ὁμόνοιαν τήν τε τῶν δογμάτων ὑγίειαν
ἠσπάζοντο· οἱ δὲ λοιποί, καθὼς καὶ πάλαι εἰρήκαμεν, τοῖς ἀποστο- 43
λικοῖς ἀντεμάχοντο δόγμασιν, οἵτινες τὴν τοῦ Ἀρείου δόξαν μεγα-
λοφυῶς συγκροτεῖν ἐσπούδαζον. δέκα καὶ ἑπτὰ τὸν ἀριθμὸν ὄντες.
Εὐσέβιός τε ὁ Νικομηδεύς, ὡς καὶ πρότερον εἴρηται, Θέογνις ὁ τῆς
Νικαίας, Μάρης Χαλκηδόνος, Θεόδωρος Ἡρακλείας Θράκης, Μηνό-
φαντος Ἐφέσου. Πατρόφιλος Σκυθοπόλεως, Νάρκισσος Νερωνιάδος
Κιλικίας δευτέρας, ἣν νῦν Εἰρηνούπολιν ὀνομάζομεν, Θεωνᾶς ὁ Μαρ-
μαρίτης, Σεκοῦνδος Πτολεμαΐδος Αἰγύπτου καὶ σὺν αὐτοῖς ἕτεροι
ὀκτὼ οἵτινες ἑαυτοὺς τῷ τῶν τριακοσίων ἁγίων χορῷ ἐπιμίξαντες
ὡς δῆθεν ὀρθόδοξοι τοῖς ἀποστολικοῖς ἀντέπραττον δόγμασιν Ἀρείῳ
συνηγοροῦντες· τούτοις δὲ γενναίως ἀντηγωνίζοντο οἱ ἐν ἁγίοις 44
πατέρες ἡμῶν Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος
ὢν καὶ Ἀθανάσιος ὁ ἀρχιδιάκονος τῆς Ἀλεξανδρέων ἐκκλησίας· διὸ
καὶ φθόνος ὤπλιστο κατ' αὐτῶν, ὡς ὕστερον λέξομεν. οἱ δὲ ἡμέ-
τεροι ἅγιοι ἐπίσκοποι καλοῦσι τὸν Ἄρειον εἰς τὴν σύνοδον, ἐπιτρέ-
ποντες αὐτῷ συστῆναι τοῖς ἰδίοις δόγμασι νεύματι τοῦ τὰ πάντα
νικηφόρου βασιλέως· ἐπείπερ, ὡς ἀρτίως εἰρήκαμεν, καὶ αὐτὸς τῇ
συνόδῳ συνήδρευεν.

Ὅπου τοὺς λιβέλλους τῶν ἐπισκόπων ὁ βασιλεὺς δέχεται.

Ἀλλὰ τὸ κατὰ τὴν σύνοδον γεγονὸς θαυμαστὸν παρὰ τοῦ τὰ 81
πάντα νικηφόρου βασιλέως οὐκ ἄξιον σιωπῇ παραπέμψασθαι. καὶ
γὰρ ἐπισυναχθέντων πάντων τῶν ἐπισκόπων καί, καθὼς ἔθος ἐστί,
γενομένων ζητήσεών τε καὶ συγκρίσεων παρά τινων τῶν ἐπισκόπων
ἐρεσχελιῶν ἕνεκα ἄλλου πρὸς ἄλλον ἔχοντος, λιβέλλων τε ἐπιδιδομέ-

1—24 vgl. Thdt. I 7, 13. 14 p. 32f. Socr. I 8, 31 p. 46. Rufin. X 5 p. 964 — **25—S. 55, 18** vgl. Rufin. X 2 p. 961. Socr. I 8, 18ff p. 41

A^2A^1 (von Z. 25 *ὅπου* an) H V^1P^3 $M^2P^1P^2$

1 *τὰ* > H **2** *προσέφερε*] *φέρων* A^2 **4** *δὲ* > P^2 es ist ein Anakoluth. Pasquali. **5** *πρὸς* — **6** *τε* > V^1 **7** *πάλαι εἰρήκαμεν*] *προειρήκαμεν* $M^2P^1P^2$ **8** *ἀντεμάχοντο*] *ἀντέχον* P^3 **10** *Θεόγνιος* A^2 *Θεόγνης* V^1P^3 *Θέογνις* $HM^2P^1P^2$ **11** *Μάρις καλκηδόνος* A^2 **12** *πατρόφυλος* $HM^2P^1P^2$ | *νάρκισος* $HM^2P^1P^2V^1P^3$ **16** *ἀντεπράττοντο* A^2 **17** *δὲ* > V^1P^3 **18** *Ἀλέξ.* + *ὁ* $HM^2P^1P^2$ **28** *ἐπισυνεχθέντων* M^2 | *ἔστιν ἔθος* ∾ P^2

νων ὑπ᾽ αὐτῶν καὶ ἐγκλημάτων συγκροτουμένων παρὰ τῷ εὐσεβεῖ βασιλεῖ, δεξάμενος τοὺς λιβέλλους σφραγίσας τε τῷ δακτυλίῳ αὐτοῦ ἐκέλευσε φυλάττεσθαι· ἐνορῶν τε τῶν τοιούτων ἐπισκόπων τὴν 2
πρὸς ἀλλήλους ζυγομαχίαν, εἶπεν, ὅτι χρὴ πάντας ὁμοῦ ἐν μιᾷ ἡμέρᾳ
5 συνελθόντας περὶ τούτων διαλαβεῖν. καὶ ἐνστάσης τῆς προθεσμίας εἰς μέσον καθίσας ὁ βασιλεὺς καὶ ἡσυχίας γενομένης τῷ καιρῷ πρεπούσης πάντων τοὺς λιβέλλους προσέταξεν ἐνεχθῆναι· καὶ δὴ δεξάμενος καὶ ἐν τῷ οἰκείῳ κόλπῳ θέμενος μήτε ἐγκύψαι τοῖς ἐμφερομένοις ἐθελήσας, λέγει· »τοῦ θεοῦ ὑμᾶς προχειρισαμένου ἱερεῖς 3
10 τε καὶ ἄρχοντας κρίνειν τε καὶ διακρίνειν τὰ πλήθη καὶ θεοὺς εἶναι ἄτε δὴ ἀνθρώπων ἁπάντων ὑπερέχοντας ὁρισαμένου κατὰ τὸ εἰρημένον· ›ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες‹ καὶ τό· ›ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν‹ χρὴ τῶν μὲν κοινῶν ὀλιγωρεῖν πραγμάτων, πᾶσαν δὲ τὴν σπουδὴν περὶ τὰ θεῖα ποιεῖσθαι«. καὶ 4
15 κελεύσας ἐνεχθῆναι πῦρ, ἐμπρησθῆναι τοὺς λιβέλλους προσέταξεν. ἔσπευδε γὰρ μηδένα τῶν ἔξω ἐπιγνῶναι τῶν τοιούτων ἐπισκόπων τὴν ἀνώμαλον ἐπιχείρησιν· τοσαύτη ἡ τοῦ βασιλέως πρὸς τοὺς ἱερεῖς τοῦ θεοῦ εὐλάβεια, ἣν θαυμάσειαν ἅπαντες οἱ εὖ φρονοῦντες.

Κἀκεῖνο δὲ ὁμοιότροπον τούτῳ ὑπ᾽ αὐτοῦ γεγενημένον οὐ δίκαιον 5
20 ἡγοῦμαι παραδοῦναι σιγῇ. φιλαπεχθήμονες γὰρ ἄνδρες καὶ φιλολοίδοροι λαϊκοὶ ἐγράψαντο τῶν ἐπισκόπων τινὰς καὶ τῷ βασιλεῖ τὰς ἐγγράφους κατηγορίας ἐπέδοσαν καὶ ταῦτα πρὸ τῆς γεγενημένης ὁμονοίας. ὁ δὲ καὶ ταύτας δεξάμενος, εἶτα δεσμὸν ἐπιθεὶς καὶ τῷ 6
δακτυλίῳ σημηνάμενος, φυλαχθῆναι καὶ ταύτας ἐκέλευσεν. εἶτα τὴν
25 σύμβασιν τῆς ὁμονοίας ἐργασάμενος, ταύτας κομισθῆναι προστά-

5f vgl. für den Ausdruck Socr. I 8, 18 p. 41 und Sozom. I 17, 3—5 — **12f** Psal. 81, 6. ebd. 1 — **19**—S. **56**, **8** vgl. Theod. I 11, 4—6 p. 47

A¹H V¹P³ M²P¹P²

2 *σφραγίσας τε*] *σφραγίσασθαι* P² **4** [*πάν*]*τας* A¹ . **5** [*δια*]*λαβεῖν* A¹ | [*καὶ ἐνστά*]*σης* A¹ | *προσθεσμίας* A¹ **7** [*καὶ*] A¹ **8** *θέ*[*μενος*] A¹ | am Rand *ὅρα τοῦ ἁγίου βασιλέως περὶ τὰ θεῖα εὐλάβειαν* H **10** *διακρ*[*ίνειν*] A¹ **11** *ὑπερέχοντας ἁπάντων* ∾ A¹ **12** *ὑ*[*ψίστου*] A¹ **13** *κοι*[*νῶν*] A¹ **14** [*ποι*]*εῖσθαι* A¹ **15** *ἀνεχθῆναι*, am Rand von späterer Hd. *ἐνεχθῆναι* M² **16** *το*[*ιούτων*] A¹ **17** *β*[*α*]*σιλέως* A¹ **18** *εὐλάβειαν* P² | *θαυμάσειεν* A¹ HP³ | *ἅ*[*παντες*] A¹ | *εὖ φρονοῦντες*] *εὐφημοῦντες* H **19** *τούτῳ* + *καὶ* A¹ | *αὐτ*[*οῦ*] A¹ **21** *ἐγράψαντ*[*ο*] A¹ **22** *κατ*[*ηγο*]*ρίας* A¹ **23** *εἶτα* — **24** *σημηνάμενος* > V¹ **24** *δακτ*[*υλίῳ*] A¹ **25** *σύμβασιν* unleserlich A¹ | *ταύτας* nachträglich hinter *κομισθῆναι* eingeschoben H | *προκομισθῆναι* V¹ *προσκομισθῆναι* P³ **25f** *προσ*[*τάξας*] A¹

ξας, παρόντων ἁπάντων τῶν ἐπισκόπων πυρὶ καὶ ταύτας κατέκαυσεν, ὁμωμοκὼς μηδὲν τῶν ἐγγεγραμμένων ἀνεγνωκέναι. οὐ γὰρ ἔφη 7
χρῆναι τῶν ἱερέων τὰ πλημμελήματα δῆλα τοῖς πολλοῖς γίνεσθαι, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες ἀδεῶς ἁμαρτάνωσι. φασὶ δὲ αὐτὸν καὶ τοῦτο προσθεῖναι, ὡς εἰ αὐτόπτης ἐπισκόπου ἐγεγόνει γάμον ἀλλότριον διορύττοντος, συγκαλύψαι ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψαι τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. τοσαύτη ἡ τοῦ βασιλέως θεοφιλὴς καὶ ἀξιάγαστος σύνεσις. ἐπὶ πολλὰς δὲ ἡμέρας οὐ μὴν δὲ ἀλλὰ καὶ κα- 8
ροὺς ἐφεξῆς συνερχόμενος τοῖς ἐπισκόποις ὁ βασιλεύς, ἅμα αὐτοῖς τὰ περὶ τῆς πίστεως διελάμβανε τάς τε διαφόρους αὐτῶν γνώμας ἀνελέγετο. ἦσαν γάρ, καθὼς πολλάκις εἰρήκαμεν, ἐν αὐτοῖς τινες τοῖς ἀθεμίτοις Ἀρείου δόγμασι συμφερόμενοι καὶ τῷ πλήθει τῶν ἁγίων ἐπισκόπων, τῶν τῆς ἀληθείας ὑπερμαχούντων, ἀντιπράττοντες. ἀλλ' οἱ ἄριστοι καὶ τὰ πάντα ἱερώτατοι πατέρες ἡμῶν τῷ τῆς ἀληθείας ὅπλῳ ἠσφαλισμένοι τὴν λαμπρὰν καὶ ἀμώμητον πίστιν μετὰ παρρησίας ἐκήρυττον· μεθ' ὧν ἦν καὶ ὁμολογητῶν πολὺς ἀριθμός, ἀνθισταμένων τοῖς ἐθέλουσι περιποιεῖσθαι τὰ μοχθηρὰ τοῦ Ἀρείου δόγματα.

Περὶ τοῦ ἁγίου Παφνουτίου.

Ἦν δὲ ἐν αὐτοῖς καὶ ὁ μέγας καὶ ἅγιος Παφνούτιος τὸν τῶν 9 1
ὁμολογητῶν καὶ ἐπισκόπων κατακοσμῶν χορόν, ἀνὴρ Αἰγύπτιος, θεοῦ δὲ ἄνθρωπος ἐκ τῆς ὁμηγύρεως ἐκείνης, οὗ Μαξιμιανὸς ὁ βασιλεὺς τὸν δεξιὸν ἐξώρυξεν ὀφθαλμὸν καὶ τὰς λαιὰς ἐνευροκόπησεν ἀγκύλας παραδοὺς τοῖς μετάλλοις συνέχεσθαι, ἐν ᾧ τοσαύτη ἦν ἡ τοῦ θεοῦ 2
χάρις, ὥστε σημεῖα αὐτὸν ποιεῖν μηδὲν ἐλάττω τῶν πάλαι ὑπὸ τῶν

9—18 vgl. Rufin. X 2 am Ende, p. 961 — **20**—S. **57**, **7** vgl. Rufin. X 4 p. 963; s. auch Socr. I 11 p. 88. Philostorgius III 12 p. 43 Bidez. Georgios Monachos II p. 507, 15ff de Boor

A¹ (bis Z. 17 *ἐκήρυττον*) H V¹P³ M²P¹P²

1 *τῶν* > A¹P³ **2** *ἔφην* HP³, in A¹ ist nur noch *ἔφ* zu lesen, eine spätere Hd. fügt hinzu *κε*(?) **4f** *ἁμαρτάνουσι* HV¹P³ **5** *προσθῆναι* V¹ **6** *ἐγεγόνειν* A¹HM²P¹ *ἐγεγώνειν* P² *ἐγεγόνει* V¹ *γεγόνει* P³ **7** *ἂν* > P³ | *βλάψη* M²P¹P² (Thdt) **8** [*ἡ*²] A¹ **9** *ἡ*[*μέρας*] A¹ | *δὲ*² + *ἡμέρας* A¹H | *καὶ* > P³ **10** *συνερχόμεν*[*ος*] A¹ **13** *ἀρεί*[*ου*] A¹ **15** *ἄ*[*ριστοι*] A¹ **16** *ἠσφαλισ*[*μένοι*] A¹ **17** *ἐκ*[*ήρυττον*] A¹ (eine spätere Hd. hat ergänzt *ρύτ*¯; damit endet fol. 38ᵛ) **17** *μεθ'* — S. **60**, **12** *μακαρίας* > A¹ **18** *θέλουσι* M²P¹P² **20** *καὶ*² > M² **22** *Μαξιμῖνος* V¹P³ **23** *ἐξώρυττεν* V¹P³

ἀποστόλων γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε καὶ εὐχῇ διαφόρους ἀσθενοῦντας ἐθεράπευε τυφλοῖς τε τὸ βλέπειν τὸν θεὸν ἐξαιτούμενος παρείχετο καὶ παρεθέντας πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμὴν τὰ μέλη ἐνεργεῖν ποιῶν ὑγιῶς. ὃν ὁ βασιλεὺς 3
σφόδρα διὰ τιμῆς ἦγε συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει· τοσαύτη προσῆν τῷ εὐσεβεῖ βασιλεῖ πρὸς τοὺς ἁγίους πίστις.

Περὶ τοῦ ἁγίου Σπυρίδωνος.

Καὶ δή καὶ Σπυρίδων Κύπριός τις ἀνὴρ ἐπίσημος ἐν κυρίῳ καὶ **10** 1
τὴν ἐκ παιδὸς ποιμενικὴν πεῖραν τῇ τοῦ Χριστοῦ ποίμνῃ καθιερωμένος, προφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο. ὃς καί γε διέπων τὴν ἐπισκοπὴν τοῦ ποιμαίνειν τὰ ἴδια πρόβατα οὐκ ἐπαύετο. οὕτω δὲ 2
ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφόδου δόλῳ προσβαλόντων τῇ ποίμνῃ ἱεράτοις τε δεσμοῖς κρατουμένων κινηθῆναί τε μὴ δυναμένων ἕως πρωί, ἐπιστὰς ὁ μακάριος δι' εὐχῆς ἀνεθῆναι αὐτοὺς τῆς συνοχῆς ποιεῖ· οὐ μὴν ἀλλὰ καὶ τῶν κριῶν τὸν κράτιστον ἀποιχομένοις δίδωσιν, εἰπών· »λάβετε, ὦ νεανίσκοι, πρὸς ἀπόχρησιν τοῦτον. μὴ ἄπρακτοι ἀπιόντες τῇ νυκτὶ ταύτῃ δι' ἐμὲ τὴν αἰτίαν τῆς ἀπορίας καταμέμψησθε.« πολλὰ μὲν οὖν καὶ ἄλλα θαυμαστὰ περὶ τοῦ 3
ἁγίου τούτου ἀκηκόαμεν, ἓν δὲ ἐκ πολλῶν παραθήσομεν.

Ὅπου τὴν θυγατέρα αὐτοῦ τεθνεῶσαν ἐγείρει διὰ τὸν ἔμπορον.

Θυγατέρα ἔσχεν ὁ θαυμάσιος καὶ ἀοίδιμος οὗτος τοῦ θεοῦ ἄνθρω- **11** 1
πος, Εἰρήνην τοὔνομα, ἣ τῷ γέροντι προσφόρως διακονήσασα ἐν παρθενίᾳ τὸν ἀνθρώπινον βίον ὑπεξέρχεται. ταύτης μετὰ θάνατον 2
ἐξ ἀποδημίας τις ἀναστὰς ἔμπορος παρακαταθήκην ἀπῄτει τὸν γέροντα.

9—S. **59**, **2** vgl. Rufin. X 5 p. 963f s. a. Socr. I 12 p. 90ff. Soz. I 11, 1—5

H V^1P^3 $M^2P^1P^2$

2 τε > H **3** παραθέντας M^2 **4** ποιεῖν (vielleicht von 1. Hd. unterstrichen) P^3 **5** σφόδρα nachträglich hinter τιμῆς eingefügt H **6** ἐξορυγμένον H, ἐξορυγμὸν V^1P^3 | προσῆν] ἐξῆν P^2 **12** ποιμένειν + εἰς V^1 **13** προσβαλλόντων HV^1P^3 **16** τὸν κράτιστον τῶν κριῶν ~ H **19** οὖν > V^1P^3 | θαύματα V^1P^3 **19f** τούτου τοῦ ἁγίου ~ V^1 **20** δὲ > P^3 **22** θαυμάσιος] μακάριος V^1P^3 | οὗτος > H **24** διεξέρχεται P^3 | μετὰ] μὲν P^3 **25** παραθήκην V^1P^3

ἦν τῇ αὐτοῦ θυγατρὶ τῇ παρθένῳ ἣν παραθέμενος. ὁ δὲ μακάριος 3
Σπυρίδων ἠγνόησε παντελῶς τὴν ὑπόθεσιν· ὡς δὲ πολὺς ἦν ἐπικείμενος αὐτῷ ὁ ἄνθρωπος, πολλὰ ἄνω καὶ κάτω τὸν οἶκον διερευνήσας ὁ γέρων καὶ μὴ εὑρὼν ἡνιᾶτο σφόδρα καὶ πρὸς τὸν ἄνδρα ἔλεγε μήτε εἰδέναι μήτε εἶναί τι ἐν τῷ οἴκῳ. ὁ δὲ ἔμπορος ἐκβοῶν 4
δάκρυσί τε συνεχόμενος καὶ ὀλοφυρόμενος ᾔτει τὴν παρακαταθήκην, λέγων αὐτὸν διαχειρίσεσθαι τῆς ἀπωλείας χάριν, εἰ μὴ λάβοι τὰ παρακατατεθέντα, φάσκων ἕνεκα γήρως αὐτῷ ταύτην τὴν παραμυθίαν πεφυλάχθαι παρ᾽ αὐτῇ τῇ παρθένῳ παραθέμενος. ἀναγκάζεται 5
τοίνυν ὁ γέρων ὁ ἅγιος ἐκεῖνος ἐπὶ τὸ μνῆμα τῆς θυγατρὸς ἅμα τῷ ἐμπόρῳ ὁρμῆσαι πρὸς πεῦσιν τοῦ πράγματος· ὁ δὲ ἐλθὼν καλεῖ τὴν θυγατέρα ἐξ ὀνόματος καί φησι πρὸς αὐτήν· »τέκνον μου Εἰρήνη«. ἡ δὲ ἀποκριθεῖσα ἀπὸ τοῦ τάφου λέγει πρὸς αὐτόν· »τί θέλεις, ὦ πάτερ«; ὁ δὲ γέρων πρὸς αὐτήν· »ποῦ ἀπέθου τὴν τοῦδε τοῦ ἀνθρώπου παραθήκην, ὦ θύγατερ«; κἀκείνη πρὸς αὐτὸν ἔφη· »ἐν τῷδε κεῖται τῷ τόπῳ, πάτερ« σαφῶς τὸν τόπον ἐπισημάνασα τῷ πατρί. ὁ δὲ πρὸς αὐτήν· »πορεύου ἐν εἰρήνῃ, τέκνον μου Εἰρήνη«. ὁ οὖν 6
γέρων ἐπιστρέψας οἴκοι καὶ εὑρὼν οὗπερ εἶπεν ἡ παρθένος κεῖσθαι τὴν παραθήκην, ἀπέδωκε τῷ ἀνδρί.

Πολλὰ δὲ καὶ ἄλλα τοῦ ἀνδρὸς ᾄδονται θαύματα καὶ παρα- 7
δοξοποιίαι πολλαί, αἳ καὶ μέχρι δεῦρο πρὸς τῶν ἐγχωρίων δείκνυνται τοῖς ἐφισταμένοις πρὸς πληροφορίαν τῆς ἀληθοῦς ἡμῶν εἰς Χριστὸν πίστεως. τοιούτοις τοιγαροῦν μέχρι τῶν καιρῶν ἐκείνων ἁγίοις ἀνδράσιν ἡ ἐκκλησία διέπρεπεν, ἐξ ὧν πολλοὶ παρῆσαν κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον. ἀλλὰ μὴν καὶ Ἀθανάσιος, 8
περὶ οὗ καὶ πρώην εἰρήκαμεν, τηνικάδε διάκονος ὤν, οὐκ ἄμοιρος τοῦ τῶν ἁγίων ἐκείνων χοροῦ εἶναι ὑπὸ πάντων ὡμολόγητο· συνῆν δὲ τῷ Ἀλεξάνδρῳ τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπῳ, βοηθὸς ἄριστος ὑπάρχων αὐτῷ. ἀνεκίνουν γοῦν ὅσημέραι οἱ ἡμέ- 9
τεροι ἅγιοι ἐπίσκοποι ἐπὶ πλεῖστον ὅσον χρόνον πάμπολλα περὶ τῆς πίστεως, οἰόμενοι δεῖν μηδὲν εὐχερὲς ἢ τολμηρὸν περὶ τηλικαύτης ζητήσεως διαπράττεσθαι. συχνῶς τε τὸν Ἄρειον μετεπέμποντο καὶ 10
πυκνῇ ἀνακρίσει τὰς προτάσεις αὐτοῦ ἀναπτύσσοντες διέλυον· πλείστη

HR (von Z. 29 *-νουν γοῦν* an) V^1P^3 $M^2P^1P^2$

4 *ὁ — εὑρὼν* am Rand nachgetragen, aber von 1. Hd. P^2 **7** *διχειρίσασθαι* M^2A^1 *διαχειρίσασθαι* die übr. HSS corr. Pasquali. *vitae suae quoque inlaturum se esse exitium* Rufin. | *λάβοιε* V^1P^3 **10** *τοίνυν* > P^2 **11** *τοῦ — καλεῖ* > P^3 **13** *ἀπὸ τοῦ τάφου* > P^2 **15** *παρακαταθήκην* $M^2P^1P^2$ **16** *σαφῶς — πατρί* > V^1 **19** *παρακαταθήκην* $M^2P^1P^2$ **25** *καὶ* + *ὁ* H **27** *ἐκείνου* V^1P^3 **29** *αὐτῷ* > P^2 / *νουν γοῦν* setzt ein R | *γοῦν*] *οὖν* $HM^2P^1P^2$

τε ὅση σπουδὴ καὶ φροντὶς ἦν αὐτοῖς. πῶς ἐχρῆν πρὸς τὴν ἀνατροπὴν τῶν ἀθέσμων αὐτοῦ δογμάτων ψηφίσασθαι καὶ ἀνθορίσασθαι. μετὰ πολλῆς οὖν τῆς σκέψεως καὶ τῆς πρὸς τὸν θεὸν ἱκεσίας 11
ταῦτα διελάμβανον. διὸ καὶ σφόδρα σοφῶς καὶ λίαν ἁρμοδίως τοὺς
5 κατὰ τῶν ἀθεμίτων δογμάτων Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἐλέγχους ἀντέθηκαν, πρόρριζον ἀνασπάσαντες τὰς κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ μιαρὰς αὐτῶν βλασφημίας καὶ ἐξαφανίσαντες. καὶ τῷ μὲν »οὐκ ἐκ 12
τοῦ θεοῦ« λέγειν ἐκείνους τὸν υἱὸν αὐτοῦ ἀντέθηκαν οἱ ἡμέτεροι τὸ »θεὸν ἐκ θεοῦ«, καὶ τῷ »μὴ ἀληθινὸν θεὸν« κατ᾽ ἐκείνους ἀντέγραψαν
10 οἱ ἡμέτεροι »θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ«, καὶ τῷ »κτίσμα« αὐτὸν λέγειν ἐκείνους ἀνθωρίσαντο οἱ ἡμέτεροι »γεννηθέντα οὐ ποιηθέντα«, καὶ τῷ »ἑτερουσίῳ« ὑπ᾽ ἐκείνων προβαλλομένῳ ἀντέθηκαν οἱ ἡμέτεροι ἐπίσκοποι τὸ »ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρὶ τοῦτ᾽ ἔστι γεννηθέντα ἐκ τῆς οὐσίας τοῦ πατρός· κτίστην τε αὐτὸν καὶ
15 δημιουργὸν ὁρατῶν τε καὶ ἀοράτων« ἐκήρυξαν κατὰ τὴν ἀνέκαθεν παραδοθεῖσαν τῇ ἐκκλησίᾳ αὐτοῦ ἀποστολικὴν πίστιν. γραφικαῖς μαρτυρίαις τὰς ἀποδείξεις ἐκδώσαντες, καθὼς προϊὼν ὁ λόγος ἀποδείξει. ταύτῃ τῇ ἀντιδότῳ τὰ θανάσιμα φάρμακα ἀνατρέψαντες 13
20 ἆρα τρανοτέραν ἐντεῦθεν ἤδη λοιπὸν τὴν ἀποστολικὴν συμφώνως ἐγγράφονται πίστιν.

Περὶ τοῦ δεῖν τρεῖς ὑποστάσεις νοεῖν καὶ πιστεύειν ἀχωρίστως ἐπὶ τῆς ἀῤῥήτου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος μιᾶς θεότητος.

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐν Νικαίᾳ συν- 12 1
αχθέντων ἁγίων πατέρων ἡμῶν διὰ τοῦ μακαρίου καὶ ἁγίου ἐπι-
25 σκόπου Ὁσίου πόλεως Κορδούβης τῆς τῶν Σπάνων ἐπαρχίας, ἐπέχοντος καὶ τὸν τόπον τοῦ τῆς Ῥωμαίων ἐπισκόπου σὺν τοῖς ἐκ τοῦ αὐτοῦ θρόνου προαναφωνηθεῖσι πρεσβυτέροις, ἑρμηνεύοντος αὐτὸν ἑτέρου εἶπεν· »ἡ θεότης οὐχ ἓν πρόσωπόν ἐστι κατὰ τὴν Ἰου- 2
δαίων ὑπόληψιν, ἀλλὰ τρία πρόσωπα καθ᾽ ὑπόστασιν ἀληθινήν, οὐκ
30 ὀνόματι ψιλῷ, καὶ τοῦτο μαρτυρίαις πολλαῖς ἀπό τε παλαιᾶς καὶ νέας διαθήκης κηρύττεται. ἡ μὲν παλαιὰ κατὰ τὸν σωματικώτερον 3

HR V¹P³ M²P¹P²

3 *τὸν* > HR **6** *προῤῥίζους* HM²P¹P² **9** *τῷ*] *τὸ* V¹P³ | *μὴ*] *μὲν* P³ | *θεὸν*² > V¹ | *ἀντέγραψον* H *ἐγράψαντο* RV¹P³ **10** *τῷ*] *τὸ* V¹P³ **12** *ἑτεροουσίῳ* HP³ **13** *τὸν υἱὸν* > H **15** *τε* > M² **17** *ἐκδόσαντες* M²P¹P²V¹ | *ἐκδώσαντες* — **17 f** *ἀποδείξειε* > P³ **19** *ἆρα* > P³ | *ἐνταῦθα* P² **20** *ἔγραφον* R **22** *μιᾶς θεότητος* > H **23 f** *συνεχθέντων* M²P³ **25** *Ὁσίου* > R **26** *τοῦ* > P³

ἔτι τρόπον διαλεγομένη λόγον ὡς λαλούμενον παρέστησεν, ἡ δὲ καινὴ τὸν λόγον θεὸν ἀπέδειξε κατὰ τὸ »ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος«· καὶ πρόσωπον τέλειον ἐκ τελείου· θεὸς γὰρ οὐ μέρος ὁ υἱός, ἀλλὰ τέλειος ὥσπερ ὁ πατήρ, τῆς αὐτῆς οὐσίας ὤν, ἧς καὶ ὁ γεννήσας αὐτὸν ἀφράστως πατήρ. συνυπάρχει δὲ ὡσαύτως τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τὸ ἅγιον πνεῦμα τῆς αὐτῆς οὐσίας καὶ τοῦ αὐτοῦ χρήματος ὄν, οὗπερ ὁ πατὴρ καὶ ὁ υἱός. μίαν τοίνυν βουλὴν μίαν βασιλείαν μίαν αὐθεντίαν μίαν δεσποτείαν ἐπὶ πάντων τῶν κτιστῶν φύσεων ὁρωμένων τε καὶ νοουμένων, μίαν θεότητα καὶ τὴν αὐτὴν οὐσίαν ὁμολογητέον πρὸς ἡμῶν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, οὐ σύγχυσιν ἢ διαίρεσιν τῶν τῆς ἀρρήτου ἐκείνης καὶ μακαρίας τριάδος ὑποστάσεων κηρυττόντων ἡμῶν, ἀλλὰ πατέρα ἀεὶ ἀληθῶς πατέρα ἀληθινοῦ υἱοῦ ἀεὶ ὄντα καὶ ὑφεστῶτα, καὶ υἱὸν ἀληθῶς υἱὸν ἀληθινοῦ πατρὸς ἀεὶ ὄντα καὶ ὑφεστῶτα, καὶ πνεῦμα ἅγιον ἀληθῶς πνεῦμα ἅγιον ἀεὶ ὂν καὶ ὑφεστός, τριάδα ἀχώριστον ἄρρητον καὶ ἀληθῶς ἀπερινόητον καὶ ἀνέκφραστον, μίαν θεότητα καὶ τὴν αὐτὴν οὐσίαν ταύτης εἶναι πιστεύοντες. καὶ ταύτην ὁμολογοῦμεν κατὰ τὴν ἀνέκαθεν παρὰ τοῦ κυρίου διὰ τῶν ἱερῶν αὐτοῦ ἀποστόλων καὶ τῶν τὴν ἐκείνων ἁγίαν πίστιν φυλαξάντων ἀσπίλως ἀρχαίων ἁγίων ἡμῶν πατέρων παραδοθεῖσαν ἡμῖν τῆς αὐτῆς πίστεως ἀληθῆ δογμάτων ἀκρίβειαν, ἑτοίμως ἐχόντων ἡμῶν σὺν εὐδοκίᾳ τοῦ ἁγίου πνεύματος διὰ πλείστων ὅσων μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν δεῖξαι ταῦτα οὕτως ἔχειν.«

Τούτων παρ' αὐτῶν μᾶλλον δὲ δι' αὐτῶν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκφωνουμένων, οἱ τῆς ἀσεβείας Ἀρείου ἀντιποιούμενοι ὑπεγόγγυζον λίαν τρυχόμενοι· ἦσαν δὲ οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας καὶ Θέογνιν τὸν τῆς Νικαίας, οὓς ἔμπροσθεν ἤδη ἐδηλώσαμεν· ἀπέβλεπον δὲ ὅμως εἰς τοὺς μισθωτοὺς Ἀρείου φιλοσόφους τινὰς λογίους ὑπεράγαν, οὓς συνηγόρους τῆς οἰκείας μοχθηρίας μισθω-

2 Joh. 1, 1 — **28** vgl. S. 54, 10 — **30ff** zur Sache vgl. Socr. I 8, 13 p. 39. Sozom. I 17, 3

A¹ (von Z. 12 *τριάδος* an) HR V¹P³ M²P¹P²

5 *τῆς αὐτῆς — πατήρ* > P² **9f** *νοουμένων τε καὶ ὁρωμένων* ∽ R **12** *τριάδος* > R **13** *ἀληθῶς*] *ἀληθῆ* R **14** *καὶ υἱὸν — 15 ὑφεστῶτα* > R | *υἱὸν*² nachträgl. eingefügt P² **16** *ὑφεστώς* HRM²P¹P²P³ **19** *τοῦ* > P³ | *ἱερῶν*] *ἁγίων* R **23** *δεῖξαι* > (aber am Rand von späterer Hd. *ἀποδεῖξαι*) A¹ > R **25f** *ὑπὸ τοῦ ἁγίου πνεύματος δι' αὐτῶν* ∽ R **27** *ὑπεγόγγυζον λίαν τρυχόμενοι* > P³. | *οἱ περὶ*] *ὑπὲρ* P³ | *τὸν* > R **29** *ὅμως*] *ὁμοίως* HP³

σάμενος Ἄρειος σὺν αὐτοῖς ἦκεν εἰς τὴν ἁγίαν ἐκείνην καὶ οἰκουμενικὴν σύνοδον. παρῆσαν γὰρ πλεῖστοι ὅσοι φιλόσοφοι, εἰς οὓς 9
ἠλπικότες, ὡς ἀρτίως εἰρήκαμεν, οἱ τῆς ἀληθείας πολέμιοι εἰκότως ἐάλωντο μετὰ τοῦ καὶ τῆς βλασφημίας αὐτῶν διδασκάλου, πληρου-
μένης ἐπ᾽ αὐτοῦ καὶ αὐτῶν τῆς ἱερᾶς γραφῆς λεγούσης· »ἐπικατάρατος πᾶς ἄνθρωπος, ὃς ἔχει τὴν ἐλπίδα αὐτοῦ ἐπ᾽ ἄνθρωπον καὶ ἀπὸ κυρίου ἀπέστη ἡ καρδία αὐτοῦ«. ἀπέστη γὰρ 10
ὄντως ἀπὸ κυρίου ἡ βλάσφημος καρδία τοῦ θεομάχου Ἀρείου καὶ τῶν κοινωνῶν τῆς ἀσεβείας αὐτοῦ, κτίσμα καὶ ποίημα τολμησάντων
λέγειν τὸν υἱὸν τοῦ θεοῦ τὸν πάντων κτίστην καὶ δημιουργὸν ἀοράτων καὶ ὁρατῶν κτιστῶν φύσεων.

Ὅπου εἷς τῶν φιλοσόφων ὑπὲρ Ἀρείου κατὰ τῆς ἁγίας ἐκείνης τῶν ἀποστολικῶν τοῦ θεοῦ ἱερέων συνόδου πλεῖστα ὅσα ἀποφθέγγεται.

Εἷς δέ τις τῶν μισθωτῶν Ἀρείου φιλόσοφος, λίαν παρὰ πάντας 13 1
τοὺς ἄλλους θαυμαζόμενος, πολλὰ καὶ πάμπολλα ὑπὲρ Ἀρείου πρὸς τοὺς ἐπισκόπους τοὺς ἡμετέρους διετείνετο ἐπὶ πλείστας ὅσας ἡμέρας, ὥστε γίνεσθαι ἐφ᾽ ἑκάστης ἐκ τῆς διὰ τῶν λόγων συμβολῆς μεγάλην ἀκρόασιν, τοῦ πλήθους τῶν συνερχομένων ἐπισυγχέοντος, τοῦ δὲ φιλοσόφου κατὰ τῶν παρὰ τῆς ἁγίας συνόδου λεγομένων τὰς ἀσεβεῖς
Ἀρείου βλασφημίας προβαλλομένου, λέγοντος περὶ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ ὅτι »κτίσμα καὶ ποίημα ἐξ οὐκ ὄντων καὶ ἐξ ἑτέρας οὐσίας καὶ ὑποστάσεώς ἐστι«· καὶ ὑπὲρ τούτων τῶν 2
μιαρῶν δογμάτων Ἀρείου πολὺς ἦν αὐτῷ ὁ ἀγὼν καὶ αἱ τῶν λόγων νιφάδες, λυττῶντος αὐτοῦ κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ κατατρέχοντος τοῦ τῶν ἁγίων ἱερέων ἐκείνων χοροῦ, λαλοῦντος ἐν αὐτῷ καὶ
δι᾽ αὐτοῦ τοῦ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐχθροῦ· οἱ δὲ τῆς ἀλη- 3

5 Jerem. 17, 5 — **14ff** vgl. Rufin. X 3 p. 961—963. Soz. I 18, 1—7 — **14**—S. **64, 8** vgl. Georgios Mon. Chron. II 505, 18—507, 15 de Boor

A¹HR V¹P³ M²P¹P²

2 *σύνοδον* > P³ **4** *ἐαλῶντο* A¹R *ἐάλων* H *ἐαλώκασι* M²P¹P² *ἐάλωνται* V¹P³ *μετὰ τοῦ καὶ* A¹V¹P³ *μετὰ καὶ τοῦ* HM²P¹P² *καὶ μετὰ τοῦ* P³ **5** *αὐτοῦ*] *αὐτῷ* A¹RV¹P³ **6f** *ὁ ἐλπίζων ἐπ᾽ ἄνθρωπον* R **8** *ὄντος* M² | *ἀπὸ* + *τοῦ* HV¹P³ | *τοῦ θεομάχου*] *καὶ θεομάχος* R **10** *τὸν*²] *τῶν* M² **10f** *ὁρατῶν καὶ ἀοράτων* ∾ A¹R **12** *εἷς* > P³ | *ὑπὲρ* > V¹P³ **15f** *πρὸς τοὺς ἡμετέρους ἐπισκόπους* A¹R **17** *διὰ τῆς ἐκ τῶν* ∾ A¹R **18** *ἐπισυντρέχοντος* Georg. Mon. | *τοῦδε* HSS corr. Ltz. **19** [*παρ*]*ὰ* A¹ *περὶ* HM²P¹P² **20** *βλα*[*σφη*]*μίας* A¹ aber am Rand von späterer Hd. ergänzt *φη*) | *προβαλλομένου* > H **21** *καὶ ποίημα* > R | *ὄντος* A¹ **22** *ὑποστάσεως καὶ οὐσίας* ∾ R **23** *ὁ* > A¹RM²P¹P² **26** *τῶν* > P²

θείας ὑπέρμαχοι, οἱ ἡμέτεροι ἐπίσκοποι, τὰς ὀφειλομένας καὶ πρεπούσας ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων ἀντιθέσεις ἀταράχως τῷ φιλοσόφῳ προσέφερον, τὸν μέγαν προφήτην ὁμοῦ καὶ βασιλέα Δαυὶδ μιμούμενοι λέγοντα· »ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην«, πάσας γὰρ τὰς τοῦ φιλοσόφου πολυπλόκους προτάσεις ὡς πυρὶ τῷ θείῳ λόγῳ στυππείου δίκην κατανήλισκον. ἀλλὰ καὶ οὕτως ὁ φιλόσοφος τῇ τῶν λόγων διαβολικῇ εὐτεχνίᾳ θαρρῶν τὴν διὰ τῶν ἐπισκόπων ἀληθειαν κηρυττομένην ἀντιτοξεύειν ἐνίστατο, εὖ μάλα ῥᾷστα πᾶσι τοῖς ἐπαγομένοις αὐτῷ, ὡς ᾤετο, προσφερόμενος, ἐπιλύειν τε ἐβιάζετο τὰ κινούμενα δίκην ἐγχέλυος· ἐν οἷς γὰρ ἐδόκει ἑαυτῷ συνίστασθαι, διολισθαίνων τῶν ἐπικρατεστέρων αὐτῷ προσφερομένων νοημάτων ἐκ τῶν οἰκείων ῥημάτων ἁλισκόμενος συγκατέπιπτεν. ἀλλὰ καὶ οὕτως κορυβαντιῶν ἀλαζονικῶς κατὰ τῆς εἰρηνικωτάτης συνόδου ἐφέρετο, ἐλπίζων νικᾶν τοῦ ἐν αὐτοῖς ἀηττήτου πνεύματος Χριστοῦ τὴν ἀκαταμάχητον δύναμιν· ἀλλ' ἵνα δείξῃ ὁ θεὸς »ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν«, ὅτι »οὐκ ἐν λόγῳ ἡ βασιλεία αὐτοῦ ἀλλ' ἐν δυνάμει« συνίσταται, δι' ἑνὸς τῶν ἐκεῖσε δούλων αὐτοῦ τὸν ἐν τῷ φιλοσόφῳ λαλοῦντα πονηρὸν δαίμονα ἰσχυρῶς κατεσίγασεν οὐ μόνον ἀλλὰ καὶ ἐξέβαλεν. ἀνὴρ γάρ τις ἐκ τῶν παρόντων τῇ συνόδῳ ἁγίων ὁμολογητῶν ἁπλοῦς τὴν φύσιν εἴπερ τις ἄλλος τῶν ἁγίων καὶ μηδὲν ἕτερον εἰδὼς »εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον« σαρκὶ κατὰ τὰς γραφάς, συνὼν τοῖς ἐπισκόποις καὶ ὁρῶν τὸν φιλόσοφον κατεπαιρόμενον τῶν ἡμετέρων ἁγίων ἐπισκόπων καὶ τῇ μοχθηρᾷ αὐτοῦ συζητήσει καταλαζονευόμενον, αἰτεῖ παρὰ τῶν ἐπισκόπων τῶν τοῦ θεοῦ ἱερέων χώραν αὐτῷ συνομιλίας παρ' αὐτῶν πρὸς τὸν φιλό-

4 Psal. 118, 60 — 16 I Kor. 3, 19 — 17 I Kor. 4, 20 — 22 I Kor. 2, 2

A¹HR V¹P³ M²P¹P²

2 *ἀντιθέσεις*] *καὶ πρεπούσας* wiederholt R 3 *ὁμοῦ καὶ βασιλέα* > V¹ | *Δαυὶδ* > R 5 *προφ*$^{\alpha'}$ = *προφάσεις* R 6 *οὕτως*] *οὗτος* M²P¹P²V¹P³ 8 *κηρυττομένην ἀλήθειαν* ∽ M²P¹P² 9 *προφερόμενος* A¹ 10 *κινούμενα* + *καὶ* M²P¹P² | *γὰρ* > M²P¹P² 11 *ἐπικρατέστερον* HM²P¹P² | *αὐτοῦ* V¹ 14 *ἀηττήτου*] *ἀκτίστου* P³ 14f *νικᾶν τὴν ἀκαταμάχητον δύναμιν τοῦ ἐν αὐτοῖς* (R *αὐτῇ*) *ἀηττήτου πνεύματος* ∽ A¹R 16 *δρασόμενος* P²V¹ 19 *κατεσίγασεν* A¹HR *δαίμονον ἰσχυρῶς κατεσίγασεν* [illegible] *ἀλλὰ* (bei [illegible] wechselt die Zeile und ist am Rand zugefügt *μονα οὐ*, nach *κατεσίγασεν* etwa 6 Buchstaben wegradiert) A¹ *δαίμονα οὐ μόνον ἰσχυρῶς κατεσίγασεν ἀλλὰ καὶ* ∽ R 20 *γάρ*] *δέ* R 22 *ἐσταυρωμένων* A¹HR 25 *ζητήσει* P² | *κατηλαζονευόμενον* V¹ 26 *ὁμιλίας* A¹R

σοφον δοθῆναι. τότε οἱ καθ' ἡμᾶς ἅγιοι ἐπίσκοποι θεωροῦντες 8
τοῦ ἀνδρὸς τὴν ἁπλότητα καὶ τὸ ἄπειρον αὐτὸν εἶναι γραμμάτων
ἔπειθον μὴ δοῦναι ἑαυτὸν εἰς τὸ μέσον, μή ποτε παρὰ τοῖς μοχθηροῖς
καὶ τῆς ἀληθείας ἐχθροῖς γέλως γένηται. ὁ δὲ μὴ ἀνασχόμενος 9
πρόσεισι τῷ φιλοσόφῳ καί φησι πρὸς αὐτόν· »ἐν ὀνόματι Ἰησοῦ
Χριστοῦ τοῦ ἀεὶ σὺν τῷ πατρὶ ὄντος θεοῦ λόγου ἄκουσον τὰ τῆς
ἀληθείας δόγματα, ὦ φιλόσοφε«. ὁ δὲ πρὸς αὐτόν· »ἐὰν εἴποις«.
καὶ ὁ ἅγιος πρὸς αὐτόν· »εἷς ἐστιν ὁ θεός, φησίν, ὁ τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτοῖς πάντα δημιουργήσας,
ὃς καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας ὑπεστήσατο τὰ πάντα τῷ
λόγῳ αὐτοῦ καὶ τῷ ἁγίῳ πνεύματι. τοῦτον τὸν λόγον, ὦ φιλό- 10
σοφε, θεοῦ υἱὸν ἡμεῖς εἰδότες προσκυνοῦμεν, πιστεύοντες διὰ τὴν
ἡμετέραν ἀπολύτρωσιν ἐκ παρθένου αὐτὸν σεσαρκῶσθαι καὶ τετέχθαι
καὶ ἐνηνθρωπηκέναι καὶ διὰ τοῦ τῆς σαρκὸς αὐτοῦ πάθους τοῦ ἐν
τῷ σταυρῷ καὶ τοῦ θανάτου ἐλευθερωκέναι αὐτὸν ἡμᾶς ἐκ τῆς
αἰωνίου κατακρίσεως διά τε τῆς ἀναστάσεως αὐτοῦ ζωὴν ἡμῖν αὐτὸν
αἰώνιον περιποιεῖσθαι· ὃν καὶ εἰς οὐρανοὺς ἀνελθόντα ἐλπίζομεν πάλιν
ἐλεύσεσθαι κριτήν τε ἔσεσθαι περὶ πάντων ὧν διεπραξάμεθα. πιστεύ-
εις τούτοις, ὦ φιλόσοφε«; ὁ δὲ φιλόσοφος ὡς ἂν μηδεπώποτε 11
πεῖραν λόγων εἰς ἀντίθεσιν ἐσχηκὼς ἀπηνεώθη, καὶ ὡς κωφὸς ἢ
ἄλαλος οὕτως ἀπεσιώπησε· τοῦτο μόνον οἰκτρᾷ λίαν τῇ φωνῇ πρὸς
αὐτὸν εἰρηκὼς ὅτι »κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ καὶ μηδὲν ἕτερον
εἶναι ἢ πάντα καθὼς προείρηκας«. ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· 12
»εἰ ταῦτα οὕτως ἔχειν πιστεύεις, ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι
καὶ ἐπὶ τὴν ἐκκλησίαν σπουδάσωμεν, ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης
τῆς πίστεως«. ὁ δὲ φιλόσοφος μεταβαλὼν ὅλον ἑαυτὸν πρὸς τὴν 13
ἀληθῆ εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν, ἀναστὰς ἠκολούθει τῷ
γέροντι καὶ ἐπιστραφεὶς λέγει τοῖς μαθηταῖς αὐτοῦ καὶ πᾶσι τοῖς
συνελθοῦσιν εἰς τὴν ἀκρόασιν »ἀκούσατε, φησίν, ὦ ἄνδρες, ἕως ὅτε
λόγων ἐποιούμην σπουδήν, λόγους λόγοις ἀντετίθουν καὶ τὰ προσ-

A¹HR V¹P³ M²P¹P²

4 τῆς] τοῖς P²V¹ **7** ἀλ[ηθείας] A¹ | εἴποις HRV¹P³ (Georg. Mon.?) εἴπῃς A¹M²P¹P² **9** θάλατταν H | αὐτοῖς] τοῖς H **10** ὃς] ὁ A¹HM²P¹P² | ἐκ + τῆς H | διαπλάσας + οὗτος A¹R | ὑπεστήσατο + τε V¹ **11** καὶ τῷ ἁγίῳ πνεύματι > V¹ **12** ἡμεῖς > H **14** ἐπανθρωπικέναι R **16f** αἰώνιον αὐτὸν ∼ R **18** κριτὴν τε περὶ ‖ περὶ πάντων (ἔσεσθαι >) V¹ **20** ᾗ] καὶ Georg. Mon. **22** καὶ > V¹P³ **23** πάντα καθὼς] ὡς M²P¹P² **25** σπουδάσωμεν] βαδισωμεν R **26** αὐτὸν M² **27** ἀληθῆ — εὐσέβειαν] ἀλήθειαν R | ἠκολούθησε R **29** ἀκρόασιν + αὐτοῦ P² **30** λόγοις λόγους ∼ A¹R λόγους > P³

φερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον· ὅτε δὲ ἀντὶ λόγων δύναμίς 14
τις θεία ἐκ τοῦ στόματος τοῦ ζητοῦντος προελήλυθεν, οὐκ ἴσχυσαν
οἱ λόγοι λοιπὸν τῇ δυνάμει ἀντιτάξασθαι — οὔτε γὰρ ἄνθρωπος
θεῷ οἷός τέ ἐστιν ἀντιστήσεσθαι. διά τοι τοῦτο εἴ τις ὑμῶν δύναται
συνιέναι, ὡς ἐγὼ νενόμικα, πιστεύσει εἰς Χριστὸν καὶ ἀκολουθησάτω
τούτῳ τῷ γέροντι, ἐν ᾧ ἐλάλησεν ὁ θεός«. τοῦτον τὸν τρόπον 15
ἀναλαβὼν ὁ φιλόσοφος φωτισθείς τε καὶ γενόμενος Χριστιανὸς ἔχαιρεν
ἡττηθεὶς ὑπὸ τοῦ γέροντος· τούτου δὲ τοῦ φιλοσόφου βαπτισθέντος
καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ συναφθέντος καὶ διαναπαυομένου καὶ
ἀγαλλιῶντος ἐπὶ τοῖς μεγαλείοις τοῦ θεοῦ, ἡ σύνοδος ἔχαιρεν.

Ἀντίρρησις ἑτέρου φιλοσόφου τοὔνομα Φαίδωνος ποιουμένου καὶ αὐτοῦ τοὺς λόγους ὑπὲρ τοῦ θεομάχου Ἀρείου καὶ τῆς ἐφευρεθείσης ὑπ᾽ αὐτοῦ βλασφημίας.

Πρότασις τοῦ φιλοσόφου πρὸς τὴν ἁγίαν σύνοδον εἰς τὸ 14 1
»*ποιήσωμεν ἄνθρωπον*«· »*καὶ εἶπεν ὁ θεός· ποιήσωμεν ἄν-*
θρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν«. εἰ οὖν,
ὡς ἡ φωνὴ δηλοῖ, ἢ καὶ ὁ νοῦς ἐξαπαχθείς, ἀνθρωπόμορφον ἄν τις
λέξοι τὸν θεόν. τὸν δὲ θεὸν ἴσμεν ἁπλοῦν καὶ ἀσχημάτιστον. τί
οὖν βούλονται αἱ σημασίαι τῶν προσηγοριῶν τούτων; φατέ, μὴ ἄρα
ἀνθρωπόμορφον τὸ θεῖον; ***ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ*** κξ΄
Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας· οὐχ οὕτως, ὦ φιλόσοφε, ἀλλ᾽ ἢ 2
τὸ εἰπεῖν τὸν θεόν· »*ἀρχέτωσαν πάσης τῆς γῆς*« καὶ τὸ »*κατα-*
κυριευσάτωσαν αὐτῆς καὶ πάντων τῶν ἐν αὐτῇ« τοῦτο τὸ
κύριόν ἐστι τοῦ ποιῆσαι τὸν ἄνθρωπον κατ᾽ εἰκόνα θεοῦ καὶ ἄρχειν
αὐτὸν πάσης τῆς γῆς. ἐπείπερ, ὡς ἄρχει ὁ θεὸς πάσης τῆς γῆς 3
καὶ τῶν ἐν αὐτῇ πάντων, οὕτω καὶ τὸν ἄνθρωπον δεύτερον ἄρχοντα
πάσης τῆς γῆς καὶ τῶν ἐν αὐτῇ κατέστησε, τοῦτο εἶναι τὸ »*κατ᾽*
εἰκόνα θεοῦ καὶ καθ᾽ ὁμοίωσιν« γενέσθαι τὸν ἄνθρωπόν
φημι. ***ἔτι ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ*** κη΄

14 Gen. 1, 26 — **17** vgl. S. 15, 22: Theodoret quaest. in Genes. 20 t. I p. 25, 30 Schulze | **21** Theodoret ebd. p. 26. Gen. 1, 26. 28 — **26** Gen. 1, 26

A¹HR V¹P³ M²P¹P²

2 *τοῦ*¹ > HV¹P³ **3** *οὐδὲ* Georg. Mon. | *οὔτε* — **4** *ἀντιστήσεσθαι* > M²P¹P² **5** *ἔγωγε* HM²P¹P² | *κἀγὼ νενόηκα* Georg. Mon. **7** *τε* A¹R > d. übr. HSS **9** *ἐκκλησίᾳ τοῦ θεοῦ* ~ R **12** *εὑρεθείσης* A¹R **13** *ἡ πρότασις* A¹R | *φιλοσόφου*] *λόγου* H **16** *ἐπαχθείς* H | *ἄν τις ἀνθρωπόμορφον* ~ A¹R **17** *λέξῃ* A¹ *λέξει* R | *ἴμεν*, aber am Rand von späterer Hd. *ἴσμεν* M² **21** *τὸν θεὸν* > R, nachträglich eingefügt V¹ | *τὸ*² > M² **23** *εἰκόνα* + *τοῦ* H | *καὶ* > H **24** *ἐπείπερ* — **26** *γῆς* > M²P¹P² **24** *ἁπάσης*] *πάσης* R

ἐπισκόπου Εὐσταθίου εἰς αὐτό· »καὶ εἶπεν ὁ θεός· ποιήσω- 4
μεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν«. ἀλλὰ πρὸς τίνα ἔφη, ζητήσωμεν, φιλόσοφε. ἐν τῷ γὰρ εἰπεῖν »καὶ εἶπεν ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« ζήτημα ἐνέβαλε νοῆσαι ἡμᾶς, πρὸς τίνα ἔλεγε τὸ ποιήσωμεν· εἰπὼν γὰρ »καὶ εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον« ἐπήγαγε λέγων »καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς«. ἡ οὖν τοῦ ποιήσωμεν σημασία τὸ εἶναι πρόσωπον 5
συνδημιουργὸν σημαίνει καὶ συνισοπροσήγορον εἰσάγει. ὡς γὰρ θεὸς ὁ πατήρ ἐστιν ὁ εἰπὼν »ποιήσωμεν ἄνθρωπον«, οὕτω θεός ἐστι καὶ πρὸς ὃν τὸ ποιήσωμεν εἴρηκε, μιᾶς οὔσης τῆς τῶν ἀμφοτέρων προσώπων θεότητος, τοῦ τε εἰπόντος »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« καὶ τοῦ ποιήσαντος τὸν ἄνθρωπον. τὸ γὰρ ποιήσωμεν τὸ πανάγιον καὶ 6
ἀπαριάλλακτον τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεότητος παρίστησιν ἡ φωνή. ἡ γὰρ τοῦ θεοῦ εἰκὼν ἁπλῆ καὶ ἀσύνθετός ἐστι πῦρ οὖσα τῇ φύσει.
ἀπόκρισις σύμφωνος τῶν ἁγίων πατέρων· φῶς ἀπρόσιτον καὶ κθ᾽ 7
ἄστεκτός ἐστι φύσις ἡ τῆς ἁγίας τριάδος οὐσία. αὕτη ἐστὶν ἡ διάνοια τοῦ ποιήσωμεν.

Ἀντίρρησις τοῦ φιλοσόφου ὑπὲρ Ἀρείου· πάλιν ἐρῶ τὸ τὸν λ′ **15** **1**
θεὸν ἁπλοῦν εἶναι καὶ ἀσχημάτιστον καὶ ἀσύνθετον. πῶς οὖν ἄρα νοητέον τὸ »κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« καὶ τὸ μὴ προϋπάρχειν τὸν εἰπόντα τοῦ πρὸς ὃν ἔλεγε »ποιήσωμεν ἄνθρωπον« καὶ τὰ ἑξῆς, φατὲ ἡμῖν σαφῆ τὴν περὶ τούτων ἀπόδειξιν, εἰ δύνασθε. ***οἱ ἅγιοι ἐπίσκοποι διὰ Ὁσίου ἐπισκόπου*** λα′
πόλεως Κορδούβης ἑρμηνεύοντος αὐτὸν ἑτέρου εἶπον· εἰ προϋπ- 2
ῆρχεν, ὡς σὺ φής, τοῦ υἱοῦ ὁ πατὴρ καὶ μεταγενέστερος ὁ υἱὸς μετὰ

1. 3 Gen. 1, 26 — **7** Gen. 1, 27 — **18** I Tim. 6, 16 — **19** Ode 8 (Gebet Manasses), 5

A¹HR V¹P³ M²P¹P²

1 *Εὐσταθίου ἐπισκόπου* ∾ R | *εἰς τὸ αὐτὸ* H > P²P³ **3** *καὶ* — **4** *θεὸς* > R **4** *κατ᾽ εἰκόνα* — **6 f** *ἄνθρωπον* > V¹P³ (Balfor.) **8** *ἄρρεν*] *ἄρσεν* R **9** *ἡ*] *εἰ* P² | *ποιήσωμεν* + *ἐν* P² **15** *τὸ*¹] = *quod ad illud attinet* vgl. 68, 1. 3 **19** *ἄκτιστός* aber am Rand ⁊ *ἄστεκτος* H **21** *ἐρῶ τὸ*] *ἐρωτῶ* HM²P¹ *ἐρὼ τῶ* P² **24** [*μὴ*] A¹ | *ἔλεγε*] *ὁ λόγος* R **25** *τὰ* > M² | *σαφῆ* > R | *τουτου* H **26** *δύνασθε* corr. aus *δύνασθαι* R, *δύνασθαι* P² **27** *πόλεως* > H | *κουρδούβης* im Text, *κουδρούβης* am Rand von anderer Hd. A¹, *κορδούβης* R | *εἶπον ἑρμηνεύοντος αὐτὸν ἑτέρου* ∾ R | *εἶπεν* HP³ *εἶπαν* M²P¹P²V¹ **28** *μετὰ*] *μὲν* P³

χρόνους τινὰς κτισθεὶς ὑπὸ τοῦ θεοῦ καὶ εἰς υἱὸν αὐτοῦ μετὰ ταῦτα ὑπ' αὐτοῦ τοῦ πατρὸς ἀναγορευθείς, καθά φατε ἀσεβῶς βλασφημοῦντες εἰς ποίησιν τῶν κτιστῶν φύσεων προκεκτίσθαι αὐτὸν ὑπ' αὐτοῦ, εἶπεν ἂν κατὰ τὴν ὑμετέραν ἀσέβειαν ὁ ἄκτιστος θεὸς πρὸς τὸν κτιστὸν θεὸν καθ' ὑμᾶς· »ποίησόν μοι ἄνθρωπον κατ' εἰκόνα ἐμὴν καὶ ὁμοίωσιν«. ἀλλ' ἐπείπερ ἀεὶ πατὴρ ὁ θεός, ὡς προαπε- 3
δείξαμεν, καὶ ἀεὶ συνυπάρχει τῷ πατρὶ ὁ υἱός, οὐ μεταγενέστερος χρόνοις, οὐκ ἐλάσσων δυνάμει, οὐ περιγραπτὸς τόπῳ, ἀλλ' ἀεὶ καὶ ὡσαύτως ἀϊδίως συνυπάρχων τῷ πατρί, γεγεννημένος ἐξ αὐτοῦ ἀπερινοήτως καὶ ἀνεκφράστως, καθὰ προειρήκαμεν, θεὸς ἀληθινὸς ὢν ἀεὶ ἐκ τοῦ ἀεὶ ὄντος ἀληθινοῦ θεοῦ καὶ πατρός, συνάναρχος τῷ πατρί, συναΐδιος τῷ πατρί, συμβασιλεύων ἀεὶ τῷ πατρί, ὁμοούσιος τῷ πατρί, ἰσοδύναμος τῷ πατρί, συνδημιουργὸς τῷ πατρί. εἰ γὰρ 4
καὶ πάντα διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγει ἡ θεία τῶν εὐαγγελίων φωνὴ καὶ ὅτι »χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἓν ὃ γέγονεν«, ἀλλ' ὅμως οὐ δίχα τοῦ πατρὸς ἐδημιούργησεν, ἐπείπερ μία θεότης καὶ βουλὴ μία τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀχωρίστως ἀεὶ ὄντος τοῦ πατρὸς πρὸς τὸν υἱὸν καὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα, νοητέον οὖν, ὦ φιλόσοφε, ὅτι ἓν κατὰ τὴν τῆς θεότητος 5
οὐσίαν ὁ πατὴρ καὶ ὁ υἱός, καθὰ καὶ ἐν εὐαγγελίοις ὁ αὐτὸς υἱὸς βοᾷ »ἐγὼ καὶ ὁ πατὴρ ἓν ἐσμεν«· πρὸς ὃν ἔλεγε »ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«.
ἀντίρρησις τοῦ φιλοσόφου· *καὶ ἤδη ἐν ταῖς προτέραις ἐπερωτήσεσιν ἔφαμεν μὴ εἶναι τὸν θεὸν ἀνθρωπόμορφον· τίνα οὖν ἔχει τὴν σημασίαν ἡ ῥῆσις αὕτη, τὸ »κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«, φατὲ ἡμῖν. οὐ γὰρ μικρὸν ἡμῖν ἡ λέξις παρέχει ἀγῶνα· τέως τοῦτο λεκτέον.* ***ἀπόκρισις τῆς ἁγίας συνόδου διὰ τοῦ αὐτοῦ ἐπισκόπου Ὁσίου πόλεως Κορδούβης·*** *τὸ »κατ' εἰκόνα«, ὦ φιλό-* 7

6f vgl. S. 60, 13 — **10** vgl. S. 60, 16f — **14f** Joh. 1, 3 — **21** Joh. 10, 30 — Gen. 1, 26 — **25. 28** Gen. 1, 26

A¹HR V¹P³ M²P¹P²

3 *φύσεως* M² | *προκεκτίσθαι* HRP³ *προεκτίσται* V¹ *προεκτίσθαι* (aber aus *προκεκτίσθαι* corr.) A¹, M²P¹P² **5** *θεὸν*] *υἱὸν* RM²P¹P²V¹P³ **7** *ὑπάρχει* M² **8** *χρόνῳ* M²P¹P² **9** *συνυπάρχων*] *συνὼν* R | *γεγενημένος* P¹P³ **10** *ὢν ἀληθινὸς* ∾ P² **11** *ὄντος* > R **12** *συναΐδιος* — **13** *πατρὶ*³ am Rand nachträglich zugefügt H **12** *ὁμοούσιος* aus *ὁμοιούσιος* corr. P³ **14f** *τῶν εὐαγγελίων φωνὴ*] *γραφὴ* R **15** *οὐδὲ ἕν*] *οὐδὲν* M² **16** *ἐδημιούργησεν* + *ἀλλ'* M²P¹P² V¹P³ **19** *ὦ* > V¹P³ **20f** *ὁ αὐτὸς βοᾷ υἱὸς* ∾ H *αὐτὸς βοᾷ ὁ υἱός* ∾ M²P¹P² **21** *ἔλεγεν* + *ὅτι* R **24** *τὴν* > R **28** *ὁσίου ἐπισκόπου* ∾ A¹R | *κορδούβης* R

σοφε, νοητέον οὐ κατὰ τὴν τῶν σωμάτων σύνθεσιν, ἀλλὰ κατὰ τὸ νοερὸν ἐντετυπῶσθαι ὁ τῆς ἀληθείας παρίστησι λόγος. ἄκουε τοίνυν καὶ σύνες· ἀγαθὸς ὢν ὁ θεὸς τῇ φύσει ἐνέπηξε τῇ νοερᾷ τοῦ 8
ἀνθρώπου οὐσίᾳ τὸ »κατ᾽ εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν« οἷον τὴν ἀγαθότητα τὴν ἁπλότητα τὴν ἁγιότητα τὴν καθαρότητα τὴν ἀφθονίαν τὴν χρηστότητα τὴν μακαριότητα καὶ τὰ τούτοις ὅμοια· ἵν᾽ ἅπερ ἐστὶν ὁ θεὸς τῇ φύσει, ταῦτα κατὰ τὴν αὐτοῦ χάριν ἔχειν δυνηθῇ καὶ ὁ ὑπ᾽ αὐτοῦ κτισθεὶς ἄνθρωπος, τοῦτ᾽ ἔστι τὸ νοερὸν αὐτοῦ. καὶ ὥσπερ οἱ τῶν ζωγράφων ἐπιστήμονες γράφοντες ἐν 9
σανίσι τὰς ὁμοιώσεις τῶν εἰκόνων, ἐκ διαφόρων καὶ οὐκ ἐξ ἑνὸς χρώματος τὰς εἰκόνας ἀπαραλείπτως γράφουσιν, οὕτω δέδωκεν ὁ θεὸς καὶ τῷ ἀνθρώπῳ τῷ ὑπ᾽ αὐτοῦ κτισθέντι ἐν τῷ νοερῷ ταμείῳ τῆς ψυχῆς, τοῦτ᾽ ἔστι τῷ νῷ, ἔχειν διὰ τῶν ἀρετῶν τὸ »κατ᾽ εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν«, τῆς εἰκόνος ἀπαραλείπτως εὑρι- 10
σκομένης ἐν τῷ ἀνθρώπῳ διὰ τῶν προρρηθέντων θείων πραγμάτων, ὧν ἐνέθηκεν αὐτῷ ὁ θεὸς εἰπὼν »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν«.

Ἀντίρρησις τοῦ φιλοσόφου· ὑπερκείσθω μοι ταῦτα ἐπὶ τοῦ λδ′ **16** 1
παρόντος καιροῦ· ἐκεῖνο δὲ μᾶλλον ἐπερωτητέον περὶ τοῦ δι᾽ οὗ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον καὶ πάντα τά τε ὁρώμενα τά τε μὴ ὁρώμενα. οὐ γάρ μοι δοκεῖ εὖ ἔχειν, ἅπερ εἰρήκατε, ὅτι ἓν κατὰ τὸ αὐτὸ ὁ πατὴρ καὶ ὁ υἱὸς ἀϊδίως ἅμα καὶ ὅτι θεὸς ἀεὶ συμπροϋπάρχων τῷ πατρὶ ὁ υἱός. ἐγὼ δὲ φαίην ὑπουργὸν ἐν τοῖς κτίσμασι γεγενῆ- 2
σθαι αὐτὸν ὑπὸ τοῦ θεοῦ. ἐδεῖτο γὰρ ὁ θεὸς ὑπουργοῦ εἰς τὴν τοῦ ἀνθρώπου καὶ τοῦ κόσμου κατασκευήν. διὸ μέλλων ὁ δημιουργὸς θεὸς κτίζειν τὰς κτιστὰς φύσεις ὑπεστήσατο ἑαυτῷ ἐργαλεῖον, δι᾽ οὗ κτίσει πάσας τὰς φύσεις. ὥσπερ γὰρ ὁ τέκτων προϋφιστᾷ ἐργαλεῖα 3
εἰς τὴν τῶν ὑπ᾽ αὐτοῦ μελλόντων γίνεσθαι κατασκευήν, οὕτως ἔστι νοῆσαι καὶ ἐπὶ τοῦ θεοῦ, ὅτι ὑποστήσας ἑαυτῷ ὡς ἐργαλεῖον τὸν

4. 13. 16 Gen. 1, 26

A^1HR V^1P^3 $M^2P^1P^2$

1 *τὴν — τὸ* > P^3 | *τῶν* > RV^1 | *τὸ* > V^1 **2** *ἐκτετυπῶσθαι* $HM^2P^1P^2$ **3** *ἀνέπηξε* P^2 **4** *καθ᾽ ὁμοίωσιν αὐτοῦ καὶ κατ᾽ εἰκόνα* ∼ R **4 ff** *τὴν ἀγαθότητα τὴν καθαρότητα τὴν ἀφθονίαν τὴν ἁπλότητα τὴν ἁγιότητα* (so!) *τὴν χρηστότητα* ∼ V^1 **10** *τὰς τῶν εἰκόνων ὁμοιώσεις* ∼ R **12** *τῷ*[1] — **13** *ἔστι* > R **14 f** *εὑρισκομένης*] *σωζομένης* R **15** *προειρημένων* H | *θείων*] *δύο* A^1R > H **16** *ἀνέθηκεν* $A^1RV^1P^3$ **17** *ὁμοίωσιν*] *ὁμοίων* P^1 **20 f** *μὴ ὁρώμενα*] *μὴ ὁρῶμενα ὁρατα* P^2 **21 f** *τὸ αὐτὸ*] *ταυτὸ* R **22** *συνπάρχων* aber am Rand P^R *συνπροϋπάρχων* H *συμπροϋπάρχει* R **29** *ὡς* > H

υἱὸν ἔκτισε δι᾽ αὐτοῦ τὸν κόσμον. τὸ γὰρ ὑπὸ τῶν ἀποστόλων 4
ῥηθὲν ὅτι »πάντα δι᾽ αὐτοῦ ἐγένετο«, ὡς δι᾽ ἐργαλείου ἐκτί-
σθησαν αἱ δι᾽ αὐτοῦ φύσεις, καὶ τὸ »κατ᾽ εἰκόνα δὲ ἡμετέραν
καὶ καθ᾽ ὁμοίωσιν« εἰπεῖν τὸν θεὸν κτισθῆναι τὸν ἄνθρωπον διὰ
τοῦ ἐργαλείου, τοῦτ᾽ ἔστι διὰ τοῦ υἱοῦ, κατὰ τὴν ἑαυτοῦ εἰκόνα καὶ
ὁμοίωσιν εἶπεν ὁ θεός. **ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ** λε′
Λεοντίου ἐπισκόπου Καισαρείας Καππαδοκίας καὶ Εὐψυχίου ἐπι-
σκόπου Τύρων· εἰ οὖν, ὡς σὺ φής, ἐργαλεῖον ὁ υἱὸς εἰς ποίησιν 5
τῶν κτιστῶν φύσεων ὑπὸ τοῦ πατρὸς ἐκτίσθη, ἐκ τῶν σεαυτοῦ
καταπίπτεις λόγων, ὦ φιλόσοφε. λέγει γὰρ ἡ τοῦ εὐαγγελίου φωνή,
ὡς καὶ αὐτὸς ἀρτίως ἐμνήσθης »πάντα δι᾽ αὐτοῦ ἐγένετο«, καὶ
ἐπάγει »καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν«. εἰ οὖν 6
πᾶν τὸ κτιστὸν δι᾽ αὐτοῦ γέγονε καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδὲ ἕν,
ὁ κόσμος δὲ κτίσμα καὶ ὁ υἱός, ὡς αὐτὸς φής, ἑαυτὸν ἄρα ἔκτισεν
καὶ οὐχ ὁ πατήρ. **ἀντίρρησις τοῦ φιλοσόφου**· ἅπαξ εἶπον, ὅτι ὡς λ′ 7
δι᾽ ἐργαλείου πάντα δι᾽ αὐτοῦ ἐποίησεν ὁ θεὸς εἰς αὐτὸ τοῦτο ποιήσας
αὐτὸν πρὸ πάσης κτίσεως, πρὸς ποίησιν τῶν κτιστῶν φύσεων ἐργα-
λεῖον εὐτρεπίσας αὐτόν. **ἀνταπόκρισις τῶν ἁγίων πατέρων διὰ** λ′
τῶν αὐτῶν ἐπισκόπων Λεοντίου καὶ Εὐψυχίου· εἰπέ, ὦ βέλτιστε, 8
ποῦ σοί τις ἐργαλεῖα ἀνεβόησε τὸν υἱὸν τοῦ θεοῦ ἢ τὸ ἅγιον αὐτοῦ
πνεῦμα; παράσχου ἡμῖν τὰς μαρτυρίας τῶν ὑποθέσεων. τίνος πνευ-
ματοφόρου ἔχεις τὰς ὑπογραφὰς ἐκδώσαντος ἐργαλεῖον τὸν υἱὸν τοῦ
θεοῦ, τὸν κτίστην πάντων τῶν αἰώνων καὶ πασῶν στρατιῶν ἐπουρα-
νίων καὶ πάντων ἐπιγείων; ἐπάκουσον τοίνυν, ὦ φιλόσοφε, τῶν 9
μαρτυριῶν τῶν ἐκ τῶν θείων γραφῶν τῶν ἐκθησάντων θεὸν συνα-
ΐδιον τῷ πατρὶ τὸν υἱὸν αὐτοῦ, κτίστην τε καὶ δημιουργὸν πασῶν

2 Joh. 1, 3 — **3** Gen. 1, 26 — **11** Joh. 1, 3

A¹HR V¹P³ M²P¹P²

3 *δι᾽ αὐτοῦ αἱ* ∼ R **5** *διὰ* > V¹ **11f** *καὶ ἐπάγει* > R **12** *ἐγένετο*] *γέγονεν* R **13** *γέγονεν* — **15** *πατήρ* Text nach A¹ **13f** *γέγονεν οὐδὲ ὁ κόσμος· κτίσμα δὲ καὶ ὁ υἱὸς κτλ.* HM²P¹P² *γέγονεν οὐδὲ ἓν ὃ γέγονε κτίσμα δὲ ὁ κόσμος καὶ ὁ υἱὸς* R *γέγονεν οὐδὲν ὃ γέγονε, κτίσμα δὲ καὶ ὁ υἱὸς* V¹P³ **14f** *ἔκτισεν* + *ὁ υἱὸς* R *ἔκτισεν ἄρα* ∼ HV¹P³ **15** *ὡς* > V¹P³ **17** *πρὸ* > P³ | *κτίσεως* + *καὶ* HP³ **19** *λέοντος* R **20** *ἐργαλεῖον* R | *ἢ*] *τί* P³ **22** *ἐκδώσαντος* > R *ἐκδόσαντος* M²P¹P²V¹P³ | *ἐργαλεῖα* A¹ **23** *τὸν*] *καὶ* R | *ἁπάντων* H | *τῶν* > V¹ **25** zu *ἐκθησάντων* vgl. 24, 29. 50, 30 **25f** *συναΐδιον*] *ὡς ἀΐδιον* P³ **26** *πασῶν*] *πάντων* R

τῶν κτιστῶν φύσεων. ἐν μὲν βίβλῳ κτίσεως ἔχεις Μωσῆν τὸν προφήτην, ὃς συνδημιουργὸν τῷ θεῷ καὶ πατρὶ τὸν υἱὸν ἐξέδωκε, λέγων καθὰ προειρήκαμέν σοι, ὦ βέλτιστε, »εἶπεν ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν· πρόσωπον συνδημιουργὸν συγκαλεῖν πέφυκεν ἀλλ᾽ οὐχὶ ἐργαλεῖον. τὸ γὰρ εἰπεῖν »καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς« αὐθεντίαν προσώπων σημαίνει. ἐν τῷ γὰρ εἰπεῖν »ποιήσωμεν ἄνθρωπον« ἀναιρεῖ τὴν τῶν ἐργαλείων ἐπίνοιαν. τρανοτέραν ⟨δὲ⟩ δέχου μαρτυρίαν αὐθεντικὴν εἰς μόνον τὸ πρόσωπον τοῦ υἱοῦ ἐκτεθεῖσαν δεικνῦσαν αὐτὸν δημιουργὸν πασῶν τῶν γενητῶν φύσεων, ὡς γέγραπται ἐν βίβλῳ Βαροὺχ ἐκ στόματος Ἱερεμίου προφήτου λέγοντος »ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων, ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται· ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν καὶ ηὐφράνθησαν. ἐκάλεσεν αὐτούς, καὶ εἶπαν· πάρεσμεν· ἔλαμψαν μετ᾽ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη«. καὶ ὁ Ἡσαΐας λέγει τῷ Ἰσραήλ »καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας; θεὸς αἰώνιος, θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς«. τίς οὖν οὗτος ὁ θεὸς ὁ αἰώνιος, ὦ φιλόσοφε, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, ὁ καὶ ἐπὶ γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις συναναστραφείς; τὸν υἱὸν λέγεις συνανεστράφθαι τοῖς ἀνθρώποις ἢ τὸν πατέρα;

3. 6 Gen. 1, 26f — **13** Baruch 3, 32ff — **23** Jes. 40, 23

A¹HR V¹P³ M²P¹P²

1 μωυσὴν R **2** συνδημιουργὸν τὸν υἱὸν τῷ θεῷ καὶ πατρὶ ∾ R **5** ἐργαλεῖον A¹R ἐργαλεῖα die übr. HSS | τὸ] τῷ HM²P¹ **7** ἄρσεν R **8** προσώπων A¹ προσώπους P² προσώπου d. übr. HSS | σημαίνει προσώπους ∾ P² **9** τὴν > P³ **10** δέχου] δὲ ἔχω A¹R | αὐθεντικὴν + εἰπεῖν R | μόνον τὸ > A¹R **11** δεικνύουσαν A¹ | γενητῶν A¹HV¹ γεννητῶν d. übr. HSS **12** ἱερεμίου + τοῦ A¹R **13** χρόνον > R **17** εἶπ/ = εἶπον A¹R **20f** τῷ παιδὶ αὐτοῦ Ἰακὼβ ∾ R **21** τῷ ἠγαπημένῳ + ὑπ᾽ P³ **22** τῆς > HM²P¹P²P³ **23** εἰ] ἢ RM²P¹ **24** θεὸς¹ + ὁ M² **24f** τίς οὖν > R **25** ὁ² > M² **27** λέγει R

ἀπόκρισις τοῦ φιλοσόφου· *ὁ υἱός, φησί, συνανέστραπται, καθὼς* λη′ 14
εἴρηκαν αἱ θεῖαι γραφαὶ κἀγὼ πιστωθεὶς ἐξ αὐτῶν ἀποδέδειγμαι. ἀλλ᾽ ἔστι μοι ἔτι δυνατωτάτη καὶ ἀναντίρρητος ἀντίθεσις περὶ αὐτοῦ. ὅτι πρὸ πάσης κτίσεως ἔκτισεν αὐτὸν ὁ θεός, ἵνα δι᾽ αὐτοῦ τὰ πάντα κτίσῃ. καὶ ταῦτα ἀποδείξω ἐν τοῖς ἔμπροσθεν τῶν ἀγώνων.

ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τῶν αὐτῶν ὁσιωτάτων ἐπι- λθ′
σκόπων Λεοντίου καὶ Εὐψυχίου· *οὐχ οὕτως, φιλόσοφε, οὐκ ἔνεστι* 15
δεῖξαί σε ταῦτα ἅπερ φῄς. γέννημα γάρ ἐστι τοῦ θεοῦ καὶ οὐ ποίημα, καθάπερ διὰ πλειόνων ἀπεδείξαμεν. καὶ τίς γάρ, ὦ φιλόσοφε, τῶν ἐν εὐσεβείᾳ καὶ ἁγχινοίᾳ πλουτούντων ἀνδρῶν οὐκ ἐκπλήττεται ἐπὶ ταῖς τοσαύταις αὐτοῦ ἐνεργείαις τῶν ὑπ᾽ αὐτοῦ δημιουργηθεισῶν φύσεων ὡς ὑπὸ θεοῦ τοῦτ᾽ ἔστιν ὑπ᾽ αὐτοῦ, κτισθεισῶν, τῆς γραφῆς βοώσης »ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον« καὶ »εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε. καὶ ἰδοὺ καλὰ λίαν«. ***Ἰωάννης δὲ ὁ*** 16
εὐαγγελιστὴς σαφέστατα δείκνυσιν αὐτὸν ἀεὶ συνυπάρχοντα τῷ πατρὶ συναίδιόν τε καὶ συνάναρχον τῷ πατρί, »ἐν ἀρχῇ γάρ φησιν ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν ὃ γέγονεν«. ***ἰδοὺ σαφέστατα*** 17
δέδεικται, ὦ φιλόσοφε, ὅτι πάσης γεννητῆς φύσεως δημιουργὸς ὁ υἱός· εἰ οὖν δημιουργὸς τῶν ὅλων κτισμάτων ἐστίν, ὥσπερ οὖν καὶ ἔστιν, ὁρωμένων τε καὶ νοουμένων, δῆλον ὅτι θεὸς ἀληθῶς φύσει καὶ οὐκ ἐργαλεῖον, ὡς φῄς, οὐδὲ κτίσμα οὔτε ποίημα οὔτε μεταγενέστερος τοῦ πατρός. ***τὸ γὰρ ἦν τετράκις λεχθὲν ὑπὸ τοῦ εὐαγγελιστοῦ*** 18
τὸ προϋπάρχον οὐκ ἔχει. ἵνα δὲ τελειότατα γνώσῃ ὅτι οὐχ ὑπεξούσιος ἀλλ᾽ αὐτεξούσιος ὡς καὶ ὁ πατήρ, δέχου καὶ ἄλλην ἐναργεστάτην μαρτυρίαν. ***ἄκουε τοίνυν τοῦ θεσπεσίου Ἡσαΐου βοῶντος »καὶ*** 19
θελήσουσι, φησίν, εἰ ἐγενήθησαν πυρίκαυστοι« τοὺς Ἰουδαίους προσαναφωνῶν »ὅτι παιδίον ἐγεννήθη υἱὸς καὶ ἐδόθη ἡμῖν.

13 Gen. 1, 27. 31 — **17** Joh. 1, 1—3 — **27 ff** Jes. 9, 5. 6

A¹HR V¹P³ M²P¹P²

1 *συνανεστράφθαι* A¹V¹P³ *συνανέστρηπται* R *συνανεστράφη* H (wo aber *η* wohl auf Rasur) M²P¹P² | *καθὰ* H **2** *ἀποδέδειγμαι* R **3** *ἔτι* > R | *ἀναντίρητος* (so!) + *ἔτι* R **4** *δι᾽ αὐτῶν τῶν* P² **6** *ὁσιοτάτων* H **8** *ἔφης* V¹P³ **13** *βοώσης* + *καὶ* M²P¹P² **14** *τὰ* > P² **18** nach *ἦν* Rasur A¹ **19** *ἐγένετο*] *οὐ γέγονεν* H **19** *σαφέστατα* > R **20** *γεννητῆς*, aber *ν* corrig. A¹, R *γενετῆς* durch Rasur aus *γεννητῆς* P² *γεννητῆς* P³ | *υἱὸς*] *θεὸς* R **25** *γνῶς* R **26** *καὶ*² > R **28** *φησὶν* > P² | *ἐγεννήθησαν* P¹ **29** *προσαναφωνῶν* H *προαναφωνῶν* d. übr. HSS, aber corr. aus *προσαναφωνῶν* in A¹

οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος θαυμαστὸς σύμβουλος θεὸς ἰσχυρὸς ἐξουσιαστής«. ἄκουε, φιλόσοφε, ἐξουσιαστὴν αὐτὸν προκηρυττόμενον καὶ οὐχ ὑπεξούσιον, καθὼς ὑμεῖς φατε. ἀλλὰ πάλιν ἐπαναληπτέον τὴν λέξιν· »θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος«. ἐν δὲ μιᾷ τῶν αὐτοῦ εὐεργεσιῶν παρίστησιν ἑαυτὸν ὁ αὐτὸς μονογενὴς υἱὸς τοῦ θεοῦ αὐτεξούσιόν τε καὶ κτίστην τοῦ ἀνθρώπου, ἐπὶ τῇ τοῦ ἐκ γενετῆς τυφλοῦ ἀναπληρώσει ὑπ' αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ γεγενημένη. ἀπαύγασμα γάρ ἐστι τοῦ πατρὸς συναΐδιον καὶ χαρακτὴρ ἀπαράλλακτος τῆς ὅλης αὐτοῦ ὑποστάσεως. καθά φησι Παῦλος ὁ ἀπόστολος, τὸ »σκεῦος τῆς ἐκλογῆς«. ἰδού, φιλόσοφε, τοσοῦτοι ἄναρχον, ἐπείπερ καὶ συνάκτιστον τῷ πατρὶ κτίστην τε πασῶν τῶν κτιστῶν φύσεων, καθὰ πλειστάκις εἰρήκαμεν, τῶν τε ὁρωμένων τῶν τε νοουμένων τὸν υἱὸν τοῦ θεοῦ ἀπέδειξαν. ποῦ δὲ καὶ οἱ μάρτυρες τῶν ἐργαλείων, φῆσον εἰ ἔχεις· τάχα οὖν καὶ εἰς ἐργαλεῖα πιστεύσας ἐβαπτίσθης, εἴπερ, ὡς φής, πιστὸς ὑπάρχεις τῷ θεῷ.

Ἀντίρρησις τοῦ φιλοσόφου περὶ τοῦ »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« ἐκ τῶν παροιμιῶν Σολομῶντος· μ΄ 17 1

ἐπεί, φησί, τοσοῦτον βιάζεσθε ὑμεῖς τὴν ἀλήθειαν, τί εἴπωμεν περὶ ταύτης τῆς φανερᾶς λέξεως τῆς »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«;

ἀπόκρισις τῶν ἁγίων πατέρων τῶν ἐπισκόπων διὰ Εὐσεβίου τοῦ Παμφίλου ἐπισκόπου Καισαρείας Παλαιστίνης· μα΄ 2

τί πιθανῶς καὶ ῥᾳδίως ὡς οἴεσθαι τοὺς βυθοὺς διατιτρώσκεις; μὴ σαυτῷ, ὦ φιλόσοφε, ἀφορμὰς ἀνάνδρους ἐπισώρευε. ὅρα μή πως δυσεπιβάτοις κρημνοῖς ἀπαραφυλάκτως ἐπιβὰς κρημ-

8 vgl. Joh. 9, 1 — 10 vgl. Hebr. 1, 3 — 12 Act. 9, 15 — 18. 21 u. ö. Prov. 8, 22 — 24 Über das Verhältnis dieser Rede zu Eusebs Schriften vgl. G. Loeschcke im Rhein. Mus. LXI 68ff

A¹HR V¹P³ M²P¹P²

2 *βουλῆς* + *τῆς τοῦ πατρὸς* H 3 *ἐξουσιαστὴς* + *ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος* V¹P³ (Balf.) 4 *ἀλλὰ* — 6 *αἰῶνος* > V¹P³ *ἰσχυρός, ἄρχων εἰρήνης, ἐξουσιαστής* ∼ R 8 *γενετῆς* RM²P¹P² *γεννητοῖς* A¹ *γεννητῆς* HV¹P³ 9f *γεγεννημένῃ* M² 11f *φησι ὁ ἀπόστολος Παῦλος* ∼ A¹ (wo aber *ὁ* fehlt) R 13f *τῶν κτιστῶν πασῶν φύσεων* ∼ A¹R 15 *ἀπέδειξαν* corr. aus *ἀπεδείξαμεν* A¹ *ἀπεδείξαμεν* R 19 *Σολομῶντος* > M²P¹P² 20—24 am Rand nachgetragen, aber 20 *εἴπωμεν* 23 *τῶν ἐπισκόπων* und *ἐπισκόπου Καισαρείας Παλαιστίνης* > H 20 *ὑμεῖς* > R 23f *καισαρείας* + *τῆς* R 24 *οἴεσθαι* A¹HR *οἴῃ* die übr. HSS · 25 *ὦ* > A¹R 26f *κρημνισθήσῃ* R

νισθῆς. ἀλλ' εἰς τὸ »κύριος ἔκτισέ με« νῦν φήσομεν· οἱ πρὸ 3
ἡμῶν ἐξέδωκαν περὶ τῆς λέξεως ταύτης, τῆς ὅτι »κύριος ἔκτισέ
με« πολλὰ μὲν καὶ ἄλλα καὶ εἰς τὴν κατὰ σάρκα δὲ οἰκονομίαν τῆς
ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὅπως διείληφαν,
πάντως ἴστε τὰς ἐκδόσεις. ἡμεῖς δὲ καὶ ἐπ' ἄλλαις ἱστορίαις τὴν 4
ἔκδοσιν νῦν ποιησόμεθα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ συνεργοῦντος,
καὶ εἰ θέλεις, φιλόσοφε, αὐτὴν ὅλην τὴν λέξιν προτείνωμεν μετὰ
καὶ τῆς ἀρχῆς αὐτῆς. λέγει γὰρ ἡ ἀρχὴ αὐτῆς· »ἐὰν ἀναγγείλω 5
ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος
ἀριθμῆσαι«· εἶτα ἐπάγει λέγων »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν
αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν
ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς
πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ
πάντων βουνῶν γεννᾷ με«. ὅθεν κατασκευάζων τὸ ὅτι »κύριος
ἔκτισέ με« ἐπισυνάψας εἶπε »κύριος ἐποίησε χώρας καὶ ἀοική-
τους«. ζητῶμεν λοιπὸν κύριον τὸν κτίσαντα αὐτὸν τὸν καὶ 6
ποιήσαντα χώρας καὶ ἀοικήτους· νυγματισθεὶς γὰρ ὁ Σολομῶν ἐκ
τῶν τοῦ πρὸς Ἰὼβ εἰπόντος »ποῦ ἦσθα ἐν τῷ θεμελιοῦν με τὴν
γῆν«; εἶπε »κύριος ἐποίησε χώρας καὶ ἀοικήτους«. ἐν δὲ 7
βίβλῳ Βαροὺχ ἐκ στόματος Ἱερεμίου τοῦ προφήτου, καθὼς προαπε-
δείξαμεν, περὶ τοῦ ποιήσαντος χώρας καὶ ἀοικήτους λέγει· »υἱοὶ
Ἀγὰρ ἐκζητοῦντες τὴν σύνεσιν ἐπὶ τῆς γῆς οἱ ἔμποροι καὶ
οἱ ἐκζητηταὶ τῆς συνέσεως· ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν
οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς«. καὶ μετ' ὀλίγα· »ἀλλ' 8
ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτήν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει
αὐτοῦ«· εἰπὼν περὶ τοῦ ἐξευρόντος τὴν σοφίαν τῇ συνέσει αὐτοῦ
ἐπάγει αὐτοῦ καὶ τὰς ἐνεργείας, λέγων »ὁ κατασκευάσας τὴν γῆν
εἰς τὸν αἰῶνα χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων,
ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται«. οὐ παραβλεπτέον 9
γάρ, ὦ φιλόσοφε, τὰ αὐτὰ πάλιν διαγορεῦσαι πρὸς ἐναργῆ ἀπόδειξιν

8 Prov. 8, 21a — **10** Prov. 8, 22—25 — **14f** Prov. 8, 22. 26 — **18** Hiob 38, 4 — **21** Baruch 3, 23 (gekürzt) — **24** Baruch 3, 32 — **27** Baruch 3, 32f

A¹HR V¹P³ M²P¹P²

1 *φήσωμεν* HR *φήσομεν* + *δ* M²P¹P²V¹P³ **6** *χριστοῦ* > M²P¹P² **7** *θέλεις* + *ὦ* A¹RM²P¹P² **8** *τῆς αὐτῆς ἀρ*[*χῆς*] ∼ R **11** *εἰς ἔργα αὐτοῦ* > P² **13** *ἑδρασθῆναι τὰ ὄρη* ∼ P² **14** *κατασκευάζων* — **15** *με* > V¹ **16** *καὶ* > HM²P¹P² **17** *νυγματισθεὶς*] *γυμνασθείς* H **18** *τῶν* > RM²P¹P² | *πρὸς*] *πατρὸς* P²P³ **20** *καθὰ* HM²P¹P² **23** *ὁδῶν* M²P¹P² **26** *αὐτοῦ*² > H

τῆς προκειμένης ὑποθέσεως. »ὁ ἀποστέλλων, φησί, τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ· οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν καὶ ηὐφράνθησαν· ἐκάλεσεν αὐτούς, καὶ εἶπαν· πάρεσμεν· ἔλαμψαν μετ᾽ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη«. τὰς δύο φράσεις προθήσαντες κυρίως τοῦ ποιήσαντος χώρας καὶ ἀοικήτους, ἃς εἶπε Σολομὼν καὶ Βαρούχ ἤτοι Ἱερεμίας — εἰπὼν γὰρ »ἔκτισέ με« ἐπήγαγεν αὐτοῦ καὶ τὰς ἐνεργείας λέγων »κύριος ἐποίησε χώρας καὶ ἀοικήτους« — συλλογισώμεθα, ὦ βέλτιστε, τὸ τίς κύριος ὁ ποιήσας χώρας καὶ ἀοικήτους, καὶ νοήσομεν ὅτι οὐκ ἄλλος ἀλλ᾽ ἢ πάντως ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον· ἐν τῷ γὰρ κατασκευάζειν τὴν γῆν »ποιεῖν ἐστι χώρας καὶ ἀοικήτους«· ὁ καὶ ἐμπλήσας αὐτὴν κτηνῶν τετραπόδων, ὁ καὶ καλέσας τὸ φῶς, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ καὶ τὰ ἑξῆς, περὶ οὗ λέγει, ὅτι »ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη«. νοητέον οὖν ὅτι οὗτός ἐστιν ὁ κύριος ὁ κτίσας τὴν λογιστικὴν σοφίαν εἰς ἀρχὴν ὁδῶν αὐτοῦ, ἣν ηὐτρέπισε τῷ κατ᾽ εἰκόνα αὐτοῦ ἀνθρώπῳ, ὁ ποιήσας χώρας καὶ ἀοικήτους, ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον.

Ἀλλὰ καὶ πάλιν τὴν ἀρχὴν τῆς λέξεως ἴδωμεν »ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ᾽ ἡμέραν γινόμενα«, ἀλλ᾽ οὐκ εἶπε τὰ μέλλοντα, καὶ πάλιν λέγει »μνημονεύσω τὰ ἐξ αἰῶνος ἐξαριθμῆσαι« ἀλλ᾽ οὐ τὰ πρὸ αἰῶνος. ἐγνώσθη ἡμῖν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστιν ὁ καὶ τὴν λογιστικὴν σοφίαν κτίσας, ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ὁ ποιήσας χώρας καὶ ἀοικήτους. ὁ καὶ τῷ Ἰὼβ εἰπὼν »ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοί μου«,

1 Baruch 3, 33ff — **10** vgl. Prov. 8, 26 — **11** Prov. 8, 22 — **12** Prov. 8, 26 — **18** Baruch 3, 38 — **24ff** Prov. 8, 21a — **28** Baruch 3, 32 — **30** Hiob 38, 7

A¹HR V¹P³ M²P¹P²

1 *φησὶ* > R **3f** *εὐφράνθησαν* A¹R **4** *αὐτοὺς* > P³ | *εἶπον* R **8** *ἠγαπημένω* + *ὑπ᾽* HSS außer A¹ (vgl. 69, 21) | *τῆς* > M²P¹P³ **9** *φράσεις*] *φύσεις* P³ (Balf.) **10** *προσθήσοντες* H **11** *γὰρ* + *κύριος* A¹R **12** *καὶ τὰς ἐνεργείας αὐτοῦ* ∾ R | *λέγων* > H **13** *τὸ* > HM²P¹P² **14** *καὶ*² > A¹RV¹P³ | *νοήσομεν* A¹HRP²V¹P³ | *ἄλλος*] *ἄλλας* P² **15** *τὸν* > M² | *ἐν γὰρ τῷ* ∾ V¹P³ **15f** *κατασκενάσαι* R **20** *λογικὴν* P² **27** *ὑμῖν* V¹P³ **28** *λογικὴν* P²

Μωσῆς δὲ λέγει περὶ τοῦ ποιήσαντος τὸ φῶς »καὶ εἶπεν ὁ θεός· γενηθήτω φῶς« καὶ ἐπήγαγε λέγων »καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους καὶ τοὺς ἀστέρας« καὶ τὰ ἑξῆς. ἱκανὰ εἶναί μοι δοκεῖ τὰ λεχθέντα, ἃ αἱ ἀποδείξεις παρέ- 15
στησαν, ὦ φιλόσοφε, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐστιν ὁ καὶ τὴν ἐν Σολομῶντι λογιστικὴν σοφίαν κτίσας καὶ πάντα τὰ κτιστά, καὶ οὐκ ἐργαλεῖον. ἵνα δέ σοι σαφεστέραν τὴν ἀληθῆ τῶν πραγμάτων ἀπόδειξιν 16
παραστήσωμεν καὶ τάχιον ἔλθωμεν ἐπὶ τὸν νοῦν τοῦ πράγματος καὶ τῆς θεωρίας αὐτοῦ, τὰ ἐκ τῆς γραφῆς λέξωμεν. μέλλων ὁ προ- 17
φήτης Μωσῆς ἐξιέναι τὸν βίον, ὡς γέγραπται ἐν βίβλῳ ἀναλήψεως Μωσέως, προσκαλεσάμενος Ἰησοῦν υἱὸν Ναυῆ καὶ διαλεγόμενος πρὸς αὐτὸν ἔφη· »καὶ προεθεάσατό με ὁ θεὸς πρὸ καταβολῆς κόσμου εἶναί με τῆς διαθήκης αὐτοῦ μεσίτην« καὶ ἐν βίβλῳ λόγων μυστικῶν Μωσέως αὐτὸς Μωσῆς προεῖπε περὶ τοῦ Δαυὶδ καὶ Σολομῶντος. περὶ οὗ Σολομῶντος οὕτω προεῖπε »καὶ διαδοχεύ- 18
σει ⟨ἐπ'⟩ αὐτὸν ὁ θεὸς σοφίαν καὶ δικαιοσύνην καὶ ἐπιστήμην πλήρη, αὐτὸς οἰκοδομήσει τὸν οἶκον τοῦ θεοῦ« καὶ τὰ ἑξῆς. ἵνα δὲ σαφέστερον εἴῃ ὃ φημι, οὕτως ἐξετάσωμεν τὸν νοῦν· ὁ 19
ἄνθρωπος διὰ τὸν κόσμον, ἢ ὁ κόσμος διὰ τὸν ἄνθρωπον; ὁ φιλό-
*σοφος· πάντως ὁ κόσμος διὰ τὸν ἄνθρωπον. **οἱ ἅγιοι ἐπίσκοποι*** *μγ'*
οἱ ἡμέτεροι διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου εἶπον· *καὶ εἰ ὁ κόσμος διὰ τὸν ἄνθρωπον πάντως ὡς προγενεστέρου* 20
τοῦ ἀνθρώπου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει ὄντος, ὁ δὲ κόσμος μεταγενέστερος ἦν τοῦ ἀνθρώπου καὶ τῆς λογιστικῆς σοφίας ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, ὁ ἄνθρωπος οὖν προγενέστερός ἐστι τοῦ κόσμου καὶ ἡ σοφία· ὁ οὖν προγενέστερος ὢν τοῦ κόσμου προϋπάρχει καὶ τῶν τοῦ κόσμου φύσεων, οἷον οὐρανοῦ καὶ γῆς ἡμέρας νυκτὸς νεφῶν ἀνέμων ἀβύσσων πηγῶν ὀρέων βουνῶν. τούτων πάντων προ- 21
γενεστέρα ἐστὶν ἡ σοφία καὶ ὁ ἄνθρωπος ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, δι' ὃν ὁ κόσμος· προπρεσβύτερος οὖν τῶν τοῦ κόσμου φύσεων ὁ

1 Gen. 1, 3 — **2** Gen. 1, 16 — **11** vgl. Himmelfahrt d. Mose ed. Clemen I 6. 14 — **13 f** unbekannte Quelle

A¹HR V¹P³ M²P¹P²

2 *γενηθήτω* R | *ὁ* > RV¹ **4** *ἃ*] *ἃ καὶ* P² *αἱ* P³ **6** *λογικὴν* P² **9** *τὰ* > H **10** *τοῦ βίου* (corr. aus *τὸν βίον*) H | am Rand *ὅρα βίβλον ἀναλήψεως Μωσέως· νῦν μὴ εὑρίσκομεν* H **14** *λόγῳ* P³ | *τοῦ* > R **15** *διαχεύσει* M²P¹ **16** *⟨ἐπ'⟩* erg. nach S. 76, 20 | *ὁ*¹ > R **19** vgl. S. 77, 22 **21** *τοῦ αὐτοῦ ἐπισκόπου* > H | *ἐπισκόπου* > V¹ **22** *εἶπον* A¹RH *εἶπαν* d. übr. HSS **23** *ὄντος* — **25** *ἐνθυμήσει* > H **24** *καὶ τῆς*] *καὶ*, aber i. Text corr. in *κατὰ*, am Rand in *μετὰ* M² *καὶ* P¹ *καίτοι* P² **25** *καὶ* — **26** *κόσμου* > RV¹P³ **27** *οἷον* nicht mehr deutlich R | *καὶ* + *τῆς* P³ **28** *τούτων* > V¹ **30** *δι' ὃν* — S. 75, 1 *ἐνθυμήσει* > V¹P³, am Rand nachgetragen H

ἄνθρωπος καὶ ἡ σοφία ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει ἤδη προϋπάρχει τοῦ κόσμου. ἀλλ' οὗτος μὲν οὖν μεταγενέστερος κτισθεὶς ἠνέχθη 22
ἐν τῇ τῆς κτίσεως παρόδῳ, ὁ δὲ μεταγενέστερος τοῦ ἀνθρώπου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει οὗτος προγενέστερος παρηνέχθη ἐν τῇ τῆς
κτίσεως παρόδῳ. ἀλλ' ὅτι καὶ ἡ σοφία, ἣν ἐξεῦρε τῇ συνέσει αὐτοῦ 23
ὁ υἱὸς τοῦ θεοῦ, ἣν δέδωκε τῷ κατ' εἰκόνα ἑαυτοῦ ἀνθρώπῳ, καὶ αὕτη προϋπῆρξε τοῦ κόσμου καὶ τῶν φύσεων αὐτοῦ ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει — εἰδὼς οὖν ἐν ἑαυτῷ ὁ Σολομών, διδαχθεὶς ἐκ τῆς τοῦ 24
θεοῦ δοθείσης αὐτῷ σοφίας, ὅτι ὁ ἄνθρωπος καὶ ἡ σοφία προϋπῆρξαν
τοῦ κόσμου καὶ τῶν φύσεων αὐτοῦ ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, βασανίσας * τὸ ἤδη προϋπάρχον τοῦ κόσμου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει πρὸ καταβολῆς κόσμου, ὃ ἐξεῦρε τῇ συνέσει αὐτοῦ ὁ κύριος, τοῦτο ἤδη ἔκτισεν ὁ αὐτὸς κύριος μεταγενέστερον τοῦ κόσμου καὶ τῶν φύσεων αὐτοῦ· λέγει οὖν ὁ Σολομὼν ὡς ἐκ προσώπου τῆς ἐν ἀνθρώπῳ 25
σοφίας τῆς προϋπαρξάσης τοῦ κόσμου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«· τῇ 26
ἐν τῷ ἀνθρώπῳ σοφίᾳ ἀνῆκεν ἐκφωνεῖν τῇ λογιστικῇ, τῇ εὑτρεπισθείσῃ τῷ ἀνθρώπῳ ταῦτα, τῷ κατ' εἰκόνα τοῦ θεοῦ γενομένῳ· τὸ οὖν »κύριος ἔκτισε«, τῷ προϋπάρξαντι τοῦ κόσμου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, τοῦτο τούτῳ προσέρριψε· τὸ δὲ »γεννᾷ με« συνεὶς πάλιν εἰς τὰς μετὰ ταῦτα ἐκ φύσεως παιδοποιίας ἐκδιδόμενον εἶπε· τὸ »γεννᾷ με« νόει τοίνυν, φιλόσοφε, τῆς αὐτῆς φύσεως παλαιουμένης καὶ ἀνανεουμένης ἄχρι συντελείας. τὸ οὖν »κύριος ἔκτισέ 27
με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« εἰς τὴν τῷ ἀνθρώπῳ δοθεῖσαν λογιστικὴν σοφίαν διαληπτέον, τὸ δὲ »γεννᾷ με« ⟨εἰς⟩ τὸ κατὰ πρόγνωσιν τοῦ θεοῦ αὐτῆς τῆς φύσεως, τὸ ἐξ αὐτῆς, ἐξ εἰκόνων, ὡς τροχὸν εἱλιττόμενον ἐπ' αὐτὸν τὸν καμπτῆρα, ἐπανιὸν ἀπὸ τῆς ἀρχῆς

16 u. ö. Prov. 8, 22ff

A¹HR V¹P³ M²P¹P²

3 ὁ δὲ — **5** παρόδῳ > P² **4** προγενέστερος] μεταγενέστερος V¹P³ **5** τῇ > HP²V¹ | ἐξεῦρεν ἐν τῇ R **6** ἑαυτοῦ] αὐτοῦ A¹R **8** Anakoluth oder Lücke: ⟨δῆλον⟩. erg. Holl | εἰδὼς — **11** ἐνθυμήσει > P² **9** προυπῆρξε H **11** erg. etwa ⟨ἔγνω ὅτι⟩ Ltz. | προυπάρξαν A¹R | κόσμου + καὶ V¹P³ **13** ob μεταγενέστερον ⟨ὄν⟩? Ltz. **14** ἐκ > P³ | ἀνθρώπῳ + προυπαρχούσης R **15** [τῆς πρου]παρξάσης A¹ | θεοῦ + σοφία R **18** τοῦ > R **19** οὖν + ἦν HP³ **21** παιδοποιή P³ (παιδοποιήσεις Balf.) | ἐκδιδομένον HP³ ἐκδεδομένου V¹ **22** τῆς corr. aus τῇ P² | αὐτῆς] αὐτὸς R **24** τῶν ἀνθρώπων A¹P²P³ **25** corr. Holl | λογικὴν P² | διαληπτέον] νοητέον R **26** τὸ] τοῦ A¹R | ἐξ αὐτῆς] ἐξ αὐτοῦ R

τοῦ πρωτοκτίστου ἀνθρώπου τοῦ κατ᾽ εἰκόνα θεοῦ κτισθέντος, ἐν ᾧ τὴν λογιστικὴν σοφίαν τὴν κτιστὴν ἐνέθηκεν, ἐν ᾧ τὴν εἰλικρινῆ αὐτοῦ ἀγάπην ἐνετύπωσεν ὁ θεός. οὗπερ τὴν ἀνάκτισιν ἐν ἑαυτῷ 28 ποιούμενος ὁ σωτὴρ ἔλεγε πρὸς τὸν πατέρα οἰκονομικῶς· »ὅτι ἠγάπησάς με, φησί, πρὸ καταβολῆς κόσμου«. τὸ δὲ »πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ« ἱστορήσας ὁ Σολομών, ὅτι οἱ αἰῶνες οἱ ἐν τῷδε τῷ κόσμῳ ἐκ τῆς περιόδου τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὴν σύστασιν ἔχουσι, τὸ δὲ προϋπάρξαι τῆς ἡμέρας καὶ τῆς νυκτός, προϋπάρξαι ἐστὶ τοῦ αἰῶνος τούτου — ταύταις ταῖς ἱστορίαις θεωρήσας ὁ Σολομὼν ἥρμοσεν εὐαρμόστως τῷ τε ἀνθρώπῳ καὶ τῇ σοφίᾳ. διὸ ἐκ προσώπου αὐτῆς ἐκφωνήσας λέγει τὸ »κύριος 29 ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ«, συλλογισάμενος ἐν ἑαυτῷ πάλιν, ὅτι μέλλοντος τοῦ θεοῦ παράγειν ταύτας τὰς φύσεις τὰς ἐγκοσμίους προγενεστέρας τοῦ τε ἀνθρώπου καὶ τῆς σοφίας εἰς τὸ εἶναι, καὶ ὅτι δεῖ τοὺς προγενεστέρους παρεῖναι, παραγενομένων δὲ τῶν φύσεων ἱστορεῖν κατὰ τάξιν τὰς φύσεις παραγενομένας, καὶ ὅτι ὁ ἄνθρωπος καὶ ἡ σοφία ἡγεῖσθαι τῶν ἔργων ἐτάχθησαν, ἡ οὖν τῷ ἀνθρώπῳ 30 δοθεῖσα ὑπὸ τοῦ θεοῦ λογιστικὴ καὶ κριτικὴ σοφία, (ἡ διαδοχεύσασα ἐπὶ Σολομῶντα, καθά φησιν ὁ μέγας Μωσῆς) λέγει ἐν Σολομῶντι· »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« καὶ τὰ ἑξῆς. ἧς ἐκ προσώπου, τῆς προγενεστέρας σὺν τῷ ἀνθρώπῳ 31 τοῦ κόσμου, διηγούμενος τὰς ἐνεργείας τοῦ θεοῦ τὰς ἐν τῷ κόσμῳ παράγοντος τὰς φύσεις φησὶν ⟨ὁ⟩ αὐτός· »κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, ἄκρα οἰκούμενα τῆς ὑπ᾽ οὐρανόν. ἡνίκα ἡτοίμασε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ· ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ᾽ ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ᾽ οὐρανόν, ἐν

4 Joh. 17, 24 — **5. 11. 21. 24** Prov. 8, 22ff — **19** vgl. S. 74, 13

A¹HR V¹P³ M²P¹P²

1 *πρωτοκτίστου*] *ἀκτίστου* (vgl. S. 83, 19 [*α* ist Zahl]) R **2** *λογιστικὴν* corr. aus *λογικὴν* P² | *ἀνέθηκεν* P² **3** *ἐτύπωσεν* H | *οὗπερ*] *ὅπερ* HP³ **5** *τὸ*] *τοῦ* P² **7** *τῷ* > RV¹ | *καὶ* > P² **10** *ἥρμ*$^{\omega}$/ = *ἥρμωσεν* R **11** *ἀναφωνήσας* P² **12** *εἰς ἔργα αὐτοῦ* > A¹HR **15** *καὶ*² — **16** *παρεῖναι* > A¹R **16** *δὲ*] *τε* V¹P³ **17** *ἱστορεῖ* durch Rasur aus *ἱστορεῖν* A¹ | *παραγινομένας* V¹P³ **18** *ἐτάχθησαν* A¹R *ἐτέθησαν* V¹P³ *ἐσώθησαν* d. übr. HSS **19** *δοθεῖσα λογιστικὴ σοφία ὑπὸ τοῦ θεοῦ καὶ κριτικὴ* ∾ R **20** *ἐν*] *ἐπὶ* A¹HR **24** *αὐτοῦ* A¹H **25** *καὶ* nachträglich eingefügt H | *ἀοικήτους* + *καὶ* P³ | *ἡνίκα* — **26** *οὐρανὸν* > P³ **27** *θρόνον* > R **28** *τῆς*] *τῇ* H, unleserlich am Zeilenanfang, darüber von anderer Hand *γαρ κατ᾽ οὐρανὸν* A¹

τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ. καὶ ὕδατα οὐ παρελεύσονται λόγον στόματος αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα, ἐγὼ ἤμην ἣ προσέχαιρε«.

Ταῦτα ἐκ προσώπου τῆς σοφίας, καὶ δείκνυσιν ἀσφαλῶς, ὅτι ὁ 32
προϋπάρξας τοῦ κόσμου ἐν τῇ τοῦ θεοῦ ἐνθυμήσει, δι' ὃν καὶ ὁ
κόσμος εὐτρεπίσθη, δηλονότι καὶ τῶν τοῦ κόσμου φύσεων προϋ-
πῆρξεν. ἵστωρ οὖν γενόμενος τῆς παρόδου τῶν φύσεων ὑπαριθμεῖ 33
τὴν τάξιν αὐτῶν ὁ προγενέστερος αὐτῶν, ἡ σοφία, ἣν ἐξεῦρε τῇ
συνέσει αὐτοῦ, ἣν ηὐτρέπισε τῷ ἀνθρώπῳ. τίς οὖν ὁ ταύτην 34
τὴν σοφίαν προευτρεπίσας καὶ δεδωκὼς τῷ ἀνθρώπῳ, ἣ ὑφηγήσατο
αὐτοῦ τὰς ἐνεργείας; ὅτι οὐκ ἄλλος ἀλλ' ἢ πάντως ὁ »κατασκευάσας
τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ὁ καὶ ἐμπλήσας αὐτὴν κτηνῶν
τετραπόδων, ὁ καλέσας τὸ φῶς, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ·
ὁ ἐπὶ γῆς ὀφθεὶς καὶ συναναστραφεὶς ἀνθρώποις«. τούτῳ 35
κεκλήρωνται αἱ ἐνεργοὶ τῶν φύσεων πάροδοι· ὅτι δὲ εἰς τὸ πρόσω-
πον εἴρηται τῆς σοφίας οὐχὶ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ »κύριος ἔκτισέ
με«, ἀλλ' ἢ τῆς λογιστικῆς σοφίας, τῆς ὑπ' αὐτοῦ τοῦ κυρίου εὐτρε-
πισθείσης καὶ δοθείσης τῷ ἀνθρώπῳ. δι' ὃν ὁ κόσμος ἐγένετο, σα- 36
φέστατα διὰ πάντων δέδεικται, ὅτι εἰς τὸ πρόσωπον εἴρηται τῆς
λογιστικῆς σοφίας· βεβαιοῖ δὲ τὰ προειρημένα ὁ κύριος ἐν τῷ εὐαγ-
γελίῳ λέγων »τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ
ὁ ἄνθρωπος διὰ τὸ σάββατον«, προσωποποιήσας τὸν κόσμον εἰς
πρόσωπον τοῦ σαββάτου ἀντὶ τοῦ· »ὁ κόσμος διὰ τὸν ἄνθρωπον,
ἀλλ' οὐχ ὁ ἄνθρωπος διὰ τὸν κόσμον«.

Ἑτέρα ἀντίφρασις τοῦ φιλοσόφου. ἀλλά, φησίν, ἡ σοφία ἡ μό' 181
ἐν Σολομῶντι ὁ υἱὸς τοῦ θεοῦ ἐστι, τοῦτ' ἔστιν ἡ σοφία τοῦ θεοῦ,
ὁ εἰπών· »κύριος ἔκτισέ με« καὶ τὰ ἑξῆς. *ἀπόκρισις τῶν ἁγίων* με'
ἐπισκόπων πρὸς τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Εὐσεβίου
τοῦ Παμφίλου. εἰπέ, ὦ φιλόσοφε, ἡ σοφία ἡ ἐν Σολομῶντι. ὡς φῄς, 2

9. 12 Baruch 3, 32 — **15** Baruch 3, 38 — **22** Mark. 2, 27 — **24** vgl. S. 74, 19

A¹HR V¹P³ M²P¹P²

3 ἤμην aber darüber von anderer Hand ἦν A¹ | ἁρμόζουσα + καὶ R **4** παρέχαιρε V¹P³ **6** δι' ὃν] διὸ P³ **7** εὐτρέπισε R **12** αὐτῷ R **15** τούτῳ] τοῦτο R **16** αἱ — **17** εἴρηται > P³ (Balf.) **18** λογικῆς V¹P³ | τῆς²] καὶ P² **19** καὶ δοθείσης > P² **20** πάντων A¹RV¹P³ τούτων d. übr. HSS **21** λογικῆς V¹ **23** προσωποποιήσας — εἰς > P³ **24** ἀντὶ + δὲ H **25** ἀλλ' > R **29f** διὰ εὐσεβίου τοῦ παμφίλου ἐπισκόπου καισαρείας παλαιστίνης H **30** παμφύλου R | ἡ ἐν Σολομῶντι σοφία ∾ R | ὡς + σὺ M²P¹P²V¹P³

ἡ τοῦ θεοῦ ἐστι σοφία; **ὁ φιλόσοφος**· ναί φησιν, οὕτως ἔχει. **ὁ ἐπίσκοπος**· εἰπέ, ἡ σοφία τοῦ θεοῦ πρόγνωσιν ἔχει ἢ οὔ; **ὁ φιλόσοφος**· ναὶ ἔχει. **ὁ ἐπίσκοπος**· ἡ σοφία τοῦ θεοῦ ὁ υἱὸς τοῦ θεοῦ ἐστιν, ἣν φῂς ἐν Σολομῶντι; **ὁ φιλόσοφος**· ναί φησιν. **ὁ ἐπίσκοπος**· πῶς κρίνει ὁ κρίνων, κατὰ πρόγνωσιν ἢ οὔ; **ὁ φιλόσοφος**· ναί φησιν. ἀλλὰ πῶς; **ὁ ἐπίσκοπος**· ὁ οὖν κρίνων κατὰ πρόγνωσιν, κρίνει καὶ κατὰ τὰ ἔργα ὡς προγνώστης; **ὁ φιλόσοφος**· ναὶ εἶπον. **ὁ ἐπίσκοπος**· πῶς οὖν ἡ σοφία ἡ ἐν Σολομῶντι λέγει· »τρία ἐστὶν ἀδύνατά μοι νοῆσαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω«; τὰ τρία εἰρηκυῖα ἡ ἐν Σολομῶντι σοφία ἀδυνατεῖν αὐτὴν νοῆσαι περὶ τοῦ τετάρτου εἶπε μὴ ἐπιγινώσκειν »καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι«. εἰ οὖν ἡ σοφία τοῦ θεοῦ ἐστιν ἡ ἐν Σολομῶντι, πῶς κρίνει τὸν κόσμον μὴ εἰδυῖα ἀνδρὸς ὁδοὺς ἐν νεότητι; καὶ πῶς τοῦτο ἀληθές, ὅτι ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ, τοῦτ' ἔστιν ὁ υἱὸς τοῦ θεοῦ, καθὼς φησι Μωσῆς ὁ προφήτης ἔτι δὲ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς »πάντα δι' αὐτοῦ, φησίν, ἐγένετο« οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; »ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς« κατὰ τὸν προφήτην τὸν εἰπόντα· »σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου· σὺ συνῆκας πάντας τοὺς διαλογισμούς μου, φησίν, ἀπὸ μακρόθεν· τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας καὶ πάσας τὰς ὁδούς μου προεῖδες«. καὶ ἐν ἑτέρῳ πάλιν »ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει ὁ διδάσκων ἄνθρωπον γνῶσιν; κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι«. ὁ οὖν ταῦτα ἐπιστάμενος καὶ πάντα προγινώσκων οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; καὶ πολλὰ ἔστιν εὑρεῖν ἐκ τῶν γραφῶν τὰ ἐλέγχοντα τὴν ἄνοιαν τῶν κακῶς ὑπειληφότων περὶ τοῦ ῥητοῦ τούτου. πῶς γὰρ ὁ διδάσκων ἄνθρωπον γνῶσιν αὐτὸς 8

8 Prov. 24, 53 (30, 18) — 11 Prov. 24, 54 — 13 Röm. 3, 6 — 16 Joh. 1, 3 — 17 Psal. 32, 15. 7, 10 — 20 Psal. 138, 2ff — 23 Psal. 93, 10f

A¹HR V¹P³ M²P¹P²

1 ὁ² > M² 3 ὁ¹ > M² 4 φῂς] φωνεῖ A¹R φησιν H 6 ὁ¹ > M² 10 ἡ — σοφία > R | ἀδυνατεῖ P² ἀδύνατον A¹ 11 εἶπε οὐ P³ | γινώσκειν RP³ 14 θεοῦ] αὐτοῦ A¹R 15 ὁ¹ unleserlich in A¹ | καθὰ H | καὶ > P² 16 φησίν > R 20 καθέδραν] καρδίαν M²P¹P² | μου¹ > A¹ 21 πάντας > A¹R | φησίν > R 21f μακρόθεν + σὺ συνῆκας πάντας τοὺς διαλογισμούς μου R 26 γινώσκων HM²P¹P² 27 εὑρεῖν + ἐν τῷ εὐαγγελίῳ καὶ P²

οὐκ ἐπίσταται ὁδοὺς ἀνδρὸς ἐν νεότητι; εὖ ἴσθι οὖν, ὦ φιλόσοφε, ὅτι Σολομὼν κριτικὴν ἔλαβε σοφίαν, ἣν ἐξεῦρε τῇ συνέσει αὐτοῦ ὁ υἱὸς τοῦ θεοῦ, ἣν ηὐτρέπισε τῷ κατ' εἰκόνα αὐτοῦ ἀνθρώπῳ συλλογιστικήν. ἀμέλει δὲ ἐπιβεβαιοῖ τὰ ῥηθέντα ὁ κύριος ἐν εὐαγγελίοις 9
λέγων τὸ »καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε«· ἀνέτρεψε τοὺς λέγοντας αὐτὸν εἶναι τὴν ἐν Σολομῶντι σοφίαν· εἰ γὰρ τῷ ψόφῳ τῆς φωνῆς ἰσοπροσήγορός ἐστιν ὅτι σοφία, ἡ γὰρ τοῦ θεοῦ σοφία ὁ υἱὸς τοῦ θεοῦ, θεὸς προγνώστης ἐστὶ καὶ κατὰ πρόγνωσιν κρίνει καὶ κατὰ τὰ ἔργα ὡς κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, καθώς
φησι ὁ Παῦλος τὸ »σκεῦος τῆς ἐκλογῆς« Ἑβραίοις γράφων. ὧδέ πως 10
λέγει περὶ αὐτοῦ »ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις
ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος«. καὶ πρὸς 11
Ῥωμαίους δὲ ὁ αὐτὸς γράφει λέγων »ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν«. δείκνυσι δὲ ὧδε, ὅτι ἡ τοῦ θεοῦ καὶ 12
πατρὸς σοφία θεός ἐστιν ἀληθῶς ἐξ αὐτοῦ τοῦ θεοῦ, ἀΐδιος ἐξ ἀϊδίου καὶ ἀληθινὸς ἐξ ἀληθινοῦ, φύσει ὢν ἀεὶ υἱὸς τοῦ ἀεὶ ὄντος θεοῦ καὶ πατρός.

Ἀντίρρησις τοῦ φιλοσόφου· τί οὖν ἔστιν ὃ φῂς »ὁδὸν δὲ μ' 19 1
σοφίας οὐκ ἔγνωσαν οὐδὲ ἐμνήσθησαν τὰς τρίβους αὐτῆς«
καὶ τὰ ἑξῆς; **ἀπόκρισις τῶν ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ μ'**
ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου· πολλάκις πρὸς τὰ ῥήματα 2
τῆς σοφίας ἀπιδών, ὦ φιλόσοφε, ἐθαύμασας τῆς σοφίας τὴν δύναμιν, ὅτι δὴ μεγίστην νοημάτων ἀλήθειαν ἔστιν εὑρεῖν ἐν αὐτῇ βραχυτάταις ταῖς λέξεσι. καὶ τάχα δικαίως ἄν τις παρεικάσειε τὰ ῥήματα 3

5 Matth. 12, 42 — **10** Act. 9, 15 — **11** Hebr. 4, 12f — **17** Röm. 9, 5 — **23** Baruch 3, 23

A¹HR V¹P³ M²P¹P²

2 κριτικὴν] κριτὴν P³ | ἔλαβε] ἔλεγε M²P¹P² **5** καὶ > H | πλείονα A¹H πλείονα von späterer Hd. corr. in πλείων P³ **6** γὰρ A¹RV¹P³ καὶ d. übr. HSS **9** τὰ > P³ **10** ὁ A¹RV¹P³ καὶ d. übr. HSS | Ἑβραίοις + γὰρ M²P¹P² **11** λέγων R **20** ἀληθὴς R **24** αὐτοῦ RM²P¹P² **25** ἁγίων > H | τοῦ —**26** ἐπισκόπου > H **26** τοῦ > V¹ | παμφίλου R **28** αὐτῇ] αὐταῖς ταῖς R **29** ταῖς > V¹R | τὰ > P³

τῆς γραφῆς τῇ εὐαγγελικῇ παραβολῇ τῇ διαγορευούσῃ ἐοικέναι τὴν βασιλείαν τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὅπερ βραχύτερον μέν ἐστι πάντων τῶν σπερμάτων τῶν ἐπὶ τῆς γῆς, φυὲν δὲ καὶ ἀναπληρωθὲν ἱκανὴν σκέπην τοῖς πετεινοῖς δίδωσιν. οὕτως ὁρῶμεν τὴν τῶν 4
θείων ῥημάτων δύναμιν ἐν βραχέσι σπειρομένην λέξεσιν, ἀναπληρουμένων δὲ τῶν νοημάτων καὶ ὥσπερ κλάδων ἐπὶ τὴν διάνοιαν τῶν πετεινῶν ἐπεκτεινομένων, τοῦτ' ἔστι τῶν ἀνθρώπων, τοσαύτη τις εὑρίσκεται δύναμις, ὥστε μὴ μόνοις τοῖς γεωργοῖς ἀλλὰ καὶ τοῖς παρεστῶσι πετεινοῖς ἱκανὴν παρέχειν τὴν σκέπην. πόθεν οὖν 5
ἐκινήθην πρὸς ταύτην τὴν ἔννοιαν ἢ ἐκ τοῦ λόγου τῆς ἱερᾶς γραφῆς τοῦ ἱεροψάλτου Δαυὶδ πρὸς ἀπόδειξιν καὶ σύστασιν οὐ τῆς λογιστικῆς σοφίας, ὡς αὐτὸς ὑπείληφας, ἀλλὰ τῆς καὶ ταύτην καὶ πάντα τὰ γενητὰ δημιουργησάσης ἀκαταλήπτου σοφίας τῆς ἀκτίστου καὶ ἀνάρχου, τοῦτ' ἔστι Χριστοῦ· ἐπείπερ Χριστὸς θεοῦ δύναμις καὶ 6
θεοῦ σοφία κατὰ τὸν τῆς ἀῤῥήτου καὶ ἀπερινοήτου θεότητος αὐτοῦ τρόπον, ὁ ἀληθὴς τοῦ θεοῦ θεὸς λόγος. »τῷ γὰρ λόγῳ κυρίου οἱ οὐρανοί, φησίν, ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν«. ἤκουσας λόγον κυρίου, 7
ἤκουσας πνεῦμα τοῦ στόματος αὐτοῦ· ἄκουε τοίνυν καὶ πάλιν περὶ τῆς συστάσεως τῆς ἀληθοῦς πίστεως τῆς εὐσεβῶς ὑπὸ τῶν εὐσεβῶν νοουμένης τε καὶ κηρυττομένης, ἐπείπερ, οἶμαι, οὐδὲν τῶν προαναφωνηθέντων σοι παρὰ τοσαύτης ἁγίων ἀρχιερέων πνευματικῆς χορείας τὴν αἴσθησιν δέδεξαι. ἄκουε τοίνυν εὐσεβῶς, καὶ μὴ 8
τοῖς ἀνθρωπίνοις λογισμοῖς διερευνᾶσθαι πειρῶ τὰ ἀπόῤῥητα· »ὁ »τέλειος οὔτε μειοῦται οὔτε αὔξει. εἷς ἀγέννητος ὁ θεὸς »καὶ πατήρ. εἷς καὶ ὁ γεγεννημένος ἐξ αὐτοῦ μονογενὴς υἱὸς »θεὸς λόγος· ὥσπερ οὖν οὐκ ἔστι συναγέννητος τῷ θεῷ 9
»καὶ πατρὶ θεὸς ἕτερος, οὕτως οὐδὲ συγγεγεννημένος ἢ »προγεγεννημένος ἢ μεταγεγεννημένος υἱὸς ἕτερος τοῦ θεοῦ

1ff vgl. Matth. 13, 32 — **14** vgl. I Kor. 1, 24 — **16** Psal. 32, 6 — **25** vgl. Apollinaris I 188, 3f. 300, 11ff Lietzmann

A¹HR V¹P³ M²P¹P²

2 ὅπερ] ὅτι V¹P³ | μὲν > M² **3** τῆς > R **5** βραχέσι A¹RV¹P³ βραχείαις HM²P¹P² vgl. 68, 25 **6** κλάδος R | τὴν > M²P¹P² **7** ἀπεκτεινομένων M² **9** παρέχει HP² **10** ἐκ + τῆς V¹P³ **11** τοῦ > V¹P³ **11f** λογικῆς H λογίκης P² **12** καὶ¹ > V¹ **13** γεννητὰ RP²P³ **16** θεὸς > P¹P² υἱὸς verm. Holl **16f** κυρίου φησὶν οἱ οὐρανοὶ ἐστεραιώθησαν P² **17** φησίν > V¹P³ **19** αὐτοῦ > P² **20** εὐσεβοῦς H **21** οὐδὲν > H **22** παρὰ] περὶ R **25** ἀγένητος A¹HR **26** γεννημένος M² **27** οὖν > A¹R **27f** τῷ πατρὶ καὶ θεῷ ∾ R **29** ἢ μεταγεγεννημένος > H

»τῷ μονογενεῖ υἱῷ αὐτοῦ θεῷ λόγῳ. εἷς ὄντως θεὸς καὶ »πατήρ, εἷς ὄντως καὶ ὁ γεγεννημένος ἐξ αὐτοῦ ἀφράστως »υἱὸς θεὸς λόγος. ὥσπερ οὖν οὐ λόγῳ μόνῳ πατὴρ ὁ θεός, »οὕτως οὐδὲ λόγῳ μόνῳ υἱὸς ⟨ὁ υἱός,⟩ ἀλλὰ ἀληθῶς υἱός· γνήσιος ὁ »πατήρ, γνήσιος ὁ υἱός· θεὸς ὁ πατήρ, θεὸς καὶ ὁ ἐξ αὐτοῦ »γεγεννημένος υἱός· τέλειος ὁ πατήρ, τέλειος αὐτοῦ καὶ ὁ υἱός· »ἀσώματος ὁ πατήρ, ἀσώματος καὶ ὁ υἱός, ἀσωμάτου γὰρ χα»ρακτὴρ καὶ εἰκὼν ἀσώματος δηλονότι«. πιστεύεις τοῦτο, ὦ **11** φιλόσοφε, ὅτι γεγέννηται ἐκ τῆς οὐσίας τοῦ πατρὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ, καθάπερ ἐξ ὑπαρχῆς τῶν λόγων διὰ πλείστων ὅσων γραφικῶν μαρτυριῶν ἀπεδείξαμεν, ἢ οὔ; ἀντεπερώτησις τοῦ μη' φιλοσόφου· πῶς καὶ τίνι τρόπῳ, φράσον. οἱ ἅγιοι ἐπίσκοποι μθ' διὰ τοῦ αὐτοῦ Εὐσεβίου Παμφίλου εἶπον· μὴ ζήτει πῶς, φιλό- **12** σοφε· εἰ δὲ μή, καθὰ ἤδη διὰ πλειόνων εἴρηταί σοι καὶ ἐν ἀρχῇ τῆς διαλέξεως διεμαρτυράμεθα, ὅτι κρημνίσαι σεαυτὸν σπουδάζεις διερευνᾶν πειρώμενος τὰ ἀνεξερεύνητα. εἰ μὲν γὰρ ἐνδέχεται ζητεῖν **13** πῶς ὁ ἀγέννητος, ἐνδέχεται ζητεῖν πῶς καὶ ὁ γεγεννημένος· εἰ δὲ οὐ καταλείπει ζήτησιν ὁ ἀγέννητος πῶς ἀγέννητος, οὕτως οὐδὲ ὁ γεγεννημένος καταλείπει ζήτησιν πῶς γεγέννηται· μὴ ζήτει τὰ ἀνε- **14** ρεύνητα, οὐ γὰρ εὑρίσκεις, τὰ εὑρισκόμενα ζήτει, καὶ εὑρίσκεις. ἐὰν γὰρ ζητῇς, παρὰ τίνος ἔχεις μαθεῖν; παρὰ τῆς γῆς; οὐχ ὑφίστατο. παρὰ θαλάσσης; οὐδέπω ἐκέκτιστο ἡ ὑγρά. παρὰ οὐρανοῦ; οὐκ ἦν ποιηθείς. παρὰ ἡλίου καὶ σελήνης καὶ ἄστρων; οὐδέπω δεδημιούργηντο. παρὰ ἀγγέλων καὶ ἀρχαγγέλων; οὐδέπω ἦσαν, ἐπείπερ καὶ αὐτῶν ποιητὴς ὁ υἱός. ἀλλὰ παρὰ αἰώνων; πρὸ αἰώνων ὁ μονο- **15** γενής. μὴ ἐξέταζε τὰ μὴ ἀεὶ ὄντα περὶ τοῦ ἀεὶ ὄντος. ἄρρητος, ⟨ἀρρήτως⟩ ἀγέννητος ὁ πατήρ· ἄρρητος, ἀρρήτως γεγεννημένος ἐξ αὐτοῦ ὁ υἱός. σιώπησον περὶ τοῦ πῶς. καὶ παραχώρει τοῦτο τῷ **16**

A¹HR V¹P³ M²P¹P²

4 corr. Holl **5** *γνήσιος* + *καὶ* (aber wohl nachträglich eingefügt) A¹, R **5f** *γεγεννημένος ἐξ αὐτοῦ* ∾ R **6** *καὶ ὁ υἱὸς αὐτοῦ* ∾ A¹R | *υἱὸς* + *καὶ* V¹ **7** *ἀσωμάτου*] *αὐτομάτου* A¹R | *γὰρ* > R **7f** *χαρακτῆρος* R **8** *καὶ* + *ἡ* V¹P³M²P¹P² *ἡ* durch Rasur getilgt A¹ | *τούτῳ* R **13** *αὐτοῦ* > R, nach *τοῦ* Rasur A¹ | *Εὐσεβίου* + *τοῦ* M²P¹ | *παμφίλου* R > HP² | *εἶπον* A¹ > HRP¹ *εἶπαν* d. übr. HSS **15** *διεμαρτυράμεθα* + *σοι* R **17** *ἀγέννητος* — *καὶ ὁ* > P³ | *ἐνδέχεται* + *καὶ* HV¹ | *καὶ πῶς* ∾ A¹R | *καὶ* > P² **18** *ὁ ἀγέννητος* — **19** *ζήτησιν* > V¹P³ **18f** *οὕτως οὐδ' ὁ γεγεννημένος πῶς γεγέννηται καταλείπει ζήτησιν* ∾ R **21** *ὑφίσταται* R **22** *ἔκτιστο* durch Rasur aus *ἐκέκτισιο* A¹ *ἔκτιστο* H *κέκτιστο* P³ **27** corr. G. L.

γεγεννηκότι καὶ τῷ γεγεννημένῳ. ὁ γὰρ πατὴρ μόνος γινώσκει τὸν υἱὸν τίς ἐστι καὶ ὁ υἱὸς τὸν πατέρα καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι, καθά φησι αὐτοῦ τὸ εὐαγγέλιον. εἰ δὲ μὴ θέλεις 17
παύσασθαι τὸ πῶς, ἀλλὰ φιλονεικεῖς διερευνᾶν τὰ ἀνεξερεύνητα,
καταγελῶμέν σου τὴν τόλμαν. μᾶλλον δὲ καὶ πεισθοῦμέν σε, ὅτι οὐ
πίστει θέλεις νοεῖν τὸν θεὸν ἀεὶ πατέρα τοῦ υἱοῦ αὐτοῦ καὶ τὸν
μονογενῆ υἱὸν αὐτοῦ ἀεὶ υἱὸν αὐτοῦ, συνυπάρχοντα ἀεὶ τῷ πατρὶ
καὶ οὐ μεταγενέστερον, καθὼς οὐ ἀσεβῶς φής. ἀλλὰ νόει πίστει 18
καὶ ὁμολόγει τέλειον ἐκ τελείου τὸν υἱόν, ὡς πολλάκις ἤκουσας,
φῶς ἀίδιον ἐκ φωτὸς ἀϊδίου, θεὸν ἀληθινὸν ἐξ ἀληθινοῦ
θεοῦ καὶ πατρός, ἄκτιστον ἐξ ἀκτίστου, ἀσύνθετον ἐξ ἀσυν-
θέτου, ἀεὶ ὄντα πρὸς τὸν πατέρα· »ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος,
καθά φησιν Ἰωάννης ὁ εὐαγγελιστής, καὶ ὁ λόγος ἦν πρὸς τὸν
θεὸν καὶ θεὸς ἦν ὁ λόγος«. τὸ ἦν, φιλόσοφε, τὸ προϋπάρχον 19
οὐκ ἔχει, τὸ ἦν, φιλόσοφε, περιγράφει τὸ οὐκ ἦν, καθὰ προαπεδεί-
ξαμεν, καὶ τὸ θεὸς περιγράφει τὸ οὐ θεός. τοῖς γεγραμμένοις πίστευε,
τὰ μὴ γεγραμμένα μὴ ἐρεύνα μηδὲ ζήτει. πίστευε ὅτι πάντα αὐτὸς 20
ἐδημιούργησεν ὁ υἱὸς τὰ γεγενημένα πνεύματι πατρικῷ οὐκ ὀφθαλμῶν
βλέμματι, ἀσύνθετος γὰρ ὁ θεός, ὡς προειρήκαμεν, ἀλλὰ πνεύματι,
ὡς αὐτὸς οἶδε μόνος. ὅπερ ἡμεῖς πίστει νοοῦντες κηρύττομεν κατὰ
τὴν διδασκαλίαν τῶν ἱερῶν γραφῶν, ὅτι βουλῇ τοῦ πατρὸς καὶ ἑαυ-
τοῦ δεδημιούργηκε πᾶσαν τὴν κτίσιν τήν τε ἐπουράνιον καὶ ἐπίγειον
τήν τε ὁρωμένην καὶ νοουμένην οὐκ ὀργάνοις οὔτε μηχαναῖς οὐδὲ
συνεργίᾳ τινὸς ἑτέρου, ἀλλὰ βουλήσει πατρός, καθὰ ἀρτίως εἰρήκαμεν,
τοῦ εἰπόντος πρὸς αὐτὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον »ποιήσωμεν
ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«. οὐκ 21
εἶπε ποίησον ἢ ποιήσατε, ἀλλὰ ποιήσωμεν, δεικνὺς τὸ ὁμοούσιον καὶ
ὁμότιμον ἐπὶ τῆς μακαρίας ἐκείνης καὶ ἀφράστου τριάδος. μὴ ὑπο- 22
γόγγυζε, ὦ φιλόσοφε, καὶ τοὺς ὀφθαλμοὺς ἀνακίνει, ἀλλὰ ὅρα τῷ τῆς

1 vgl. Matth. 11, 27 — 12 Joh. 1, 1f — 25 Gen. 1, 26

A¹HR V¹P³ M²P¹P²

3 θέλης V¹P³ 4 τὸ A¹HV¹P³ τοῦ RM²P¹P² 5 καὶ > H | πενθῶμέν σε V¹P³ 6 καὶ — 7 αὐτοῦ² > aber συνυπάρχοντά τε ἀεὶ τῷ πατρὶ + τοῦ τον τὸν μονογενῆ υἱὸν αὐτοῦ R 8 πίστει + νόει H 9 πολλάκις > H 10f ἐκ θεοῦ ἀληθινοῦ RP³ (wo aber am Rand ἐξ ἀληθινοῦ κτλ.) 13 Ἰωάννης > H 14 προυπάρχειν RV¹ 18 ὀφθαλμοῦ R 23 οὐδὲ] οὔτε A¹R 24 βουλήσει + τοῦ A¹R | καθὼς R 27 δείκνυσι HP¹P²M² (am Rand; im Text δείκνουσι) 28 τριάδος + καὶ P³

διανοίας βλέμματι τὴν τῶν ἀποστολικῶν δογμάτων ἀκρίβειαν καὶ δέχου
πιστῶς μὴ ἐπὶ πλεῖον γινόμενος ἄπιστος, ἀλλὰ πιστός. ἄκουε 23
τοίνυν καὶ σύνες· ὁ τοῦ θεοῦ λόγος, ὁ πρὸ αἰώνων αὐτοῦ υἱός, πρὸς
ὃν εἶπε »ποιήσωμεν ἄνθρωπον« καὶ τὰ ἑξῆς αὐτὸς πάλιν ἐπ'
ἐσχάτων τῶν ἡμερῶν βουλῇ πατρικῇ καὶ οἰκείᾳ ἄνθρωπος γέγονε,
σαρκωθεὶς ἐκ παρθένου διὰ τὸν ἐκπεσόντα ἄνθρωπον Ἀδάμ, ὁ ἀσώ- 24
ματος ἐν σώματι κενώσας ἑαυτόν, ὡς εἶπεν ὁ ἀπόστολος Παῦλος,
διὰ τὸ σῶμα, ἔλαβε νέφος ὁ θεὸς λόγος τὸ σῶμα, ἵνα μὴ καταφλέξῃ
τὰς κτιστὰς φύσεις τὰς ἐν τῷ κόσμῳ· »θεὸν γὰρ οὐδεὶς ἑώρακε
πώποτε«. ἐκρατήθη σαρκί, ἵνα καὶ ἡ σὰρξ διὰ τῆς πρὸς αὐτὸν 25
ἀτρέπτου ἑνώσεως ἐλευθερωθῇ τοῦ θανάτου, ἀόρατος ἐν ὁρατῷ, ἵνα
ὑπομείνῃ τὰ ὁρώμενα, ὡς ἄνθρωπος ὑπὸ χρόνον, ἀλλ' ἀληθείᾳ κατ'
ἀμφότερα θεὸς καὶ ἄνθρωπος, ἄνθρωπος καὶ θεὸς ὁ αὐτός· εἷς γὰρ
ἐξ ἀμφοῖν Χριστός, νοουμένης καὶ γνωριζομένης τῆς διαφορᾶς τῶν
οὐσιῶν, τῆς τε θεότητος αὐτοῦ καὶ τῆς σαρκός· θεὸς ἦν καὶ ἔστι,
γέγονεν ἄνθρωπος δι' οἰκονομίαν. δι' αὐτὸν προφῆται, δι' αὐτὸν 26
ἀπόστολοι, δι' αὐτὸν μάρτυρες· προφῆται διὰ τὸν προφητευθέντα,
ἀπόστολοι διὰ τὸν ἀπεσταλμένον οἰκονομικῶς, μάρτυρες διὰ τὸν
πρωτομάρτυρα. ἦλθε θεὸς ἐπὶ γῆς ὁ υἱός, σαρκὶ κρύψας, ὡς ἠβου-
λήθη, τὸ τῆς αὐτοῦ θεότητος μέγεθος, οὐκ ἐρημώσας τὰ ἐν οὐρανοῖς
(οὐδὲ γὰρ πρὸ τοῦ σαρκωθῆναι ἔρημος αὐτοῦ ὁ κόσμος). θεὸς ἦν καὶ 27
ἔστι, γέγονε καὶ ἄνθρωπος δι' οἰκονομίαν, σαρκωθεὶς καὶ τεχθεὶς ἐκ
παρθένου δι' οἰκείαν φιλανθρωπίαν. ἄξιον ἑαυτοῦ καὶ ἴσον υἱὸν 28
ἐγέννησεν ὁ πατήρ, ὡς οἶδεν ὁ γεννήσας αὐτὸν θεὸς καὶ πατὴρ καὶ
ὁ ἐξ αὐτοῦ γεγεννημένος υἱός, ὦ φιλόσοφε.

Ἀντίρρησις τοῦ φιλοσόφου· μὴ ἐπὶ πλεῖστον ὅσον ἐπίμενε βια- ν 20 1
ζόμενος τὴν ἀλήθειαν καὶ τῇ τῶν λόγων εὐτεχνίᾳ ἐπισκιάζειν ὡς
νέφος πειρῶ τὸ τῆς γραφῆς ἀνάμαυρον φέγγος, ἀλλὰ εἰς τὸ προφανὲς

2 vgl. Joh. 20, 27 — **4** Gen. 1, 26 — **7** vgl. Phil. 2, 7 — **9** Joh. 1, 18 — **11** vgl. Ignatius Ephes. inscr.

A^1HR V^1P^3 $M^2P^1P^2$

3 *τοίνυν* A^1R *οὖν* d. übr. HSS **8** *καταφλέξας* (oder *-αι*?) $M^2P^1P^2$ **10** *καὶ* > H **11** *ἑνώσεως* > R | *ἐλευθηρωθῇ* $A^1HV^1P^3$ **12** *ὑπομένη* P^2P^3 **14** *νοούμενος καὶ γνωριζόμενος* V^1 **15** *τε* > $M^2P^1P^2$ | *ἔστι*] *ἔσται* A^1R **16 f** *αὐτοῦ* dreimal R **17** *δι' αὐτὸν* — **18** *ἀπόστολοι* erst ausgelassen, dann (von 1. Hd.?) nachgetragen M^2 **19** *πρωτομάρτυρα*] $\overset{\pi}{\alpha}\mu\alpha\overset{\tau\rho}{\rho}$ R (vgl. S. 76, 1) **20** *τὸ* nach *θεότητος* $M^2P^1P^2$ **25** *ὁ* > RM^2 **26** *πλεῖον* P^3 **28** *τὸ* > V^1P^3 | *φθέγγος* P^3 | *ἐμφανές* R

τῆς γραφῆς ἐλθὲ τὸ προτεθέν σοι καὶ μὴ φεῦγε τὸ »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« καὶ τὸ »κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν«. μίαν καὶ τὴν αὐτὴν ἔχει ἔννοιαν περὶ τοῦ ἑνὸς κυρίου, ταῦτά ἐστι 2
τοῦ θεοῦ τοῦ καὶ πρωτόκτιστον κτίσαντος εἰς ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. ὃν καὶ υἱὸν αὐτοῦ προσηγόρευσε τοῦ καὶ κτίσαντος δι' αὐτοῦ ὡς δι' ἐργαλείου χώρας καὶ ἀοικήτους. εἰ γὰρ καὶ ἡ 3
κτιστὴ τοῦ θεοῦ σοφία, τοῦτ' ἔστιν ὁ υἱός, ἐργάζεται, ἀλλ' ὁ θεὸς ἦν ὁ κτίζων δι' αὐτοῦ τὰ μὴ ὄντα ὡς δι' ἐργαλείου. ἀπόκρισις τῶν ρα'
ἁγίων ἐπισκόπων διὰ τοῦ αὐτοῦ ἐπισκόπου Εὐσεβίου τοῦ Παμφίλου· πολὺ διαστήκων τῆς βασιλικῆς λεωφόρου, τοῦτ' ἔστι τῆς 4
ἀποστολικῆς πίστεως, ἔξω που ταύτης φέρεσθαι ἀνέχῃ κρημνίσαι σεαυτὸν ἅπαξ ἑλόμενος καὶ μικρὸν ἀνανεύσας ἐκ τοῦ περιέχοντός σε τῆς ἀσεβείας βυθοῦ, ὅταν ἤκουσας παρὰ τῆς ἁγίας συνόδου ταύτης τὴν προφητείαν τοῦ μεγάλου Ἱερεμίου δακτυλοδεικτοῦντος, ὡς ἂν εἴποι τις, καὶ λέγοντος »οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν« καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγει »μετὰ ταῦτα 5
ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη« καὶ οἶσθα, ὦ φιλόσοφε, ἐπερωτηθεὶς παρὰ τῶν ἁγίων ἐπισκόπων· »τίς ὁ ἐπὶ τῆς γῆς ὀφθεὶς καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ὁ πατὴρ ἢ ὁ υἱός«; καὶ ὁμολογήσας ὅτι »ὁ υἱός, καθὼς αἱ θεῖαι γραφαὶ λέγουσιν«. οὐ ταῦτα εἴρηκας; πῶς πάλιν ἐπὶ τὸν βυθὸν τῆς μοχθηρίας 6
Ἀρείου ἑαυτὸν ἀκοντίζεις, μᾶλλον δὲ βυθίζεις; οὐ γὰρ ἀνέζευξας χωρισθεὶς ἐκείνου, ὡς ἑαυτὸν συνέζευξας. προκρίνεις, ὦ ἄθλιε, τῶν ἀποστολικῶν δογμάτων τὰ Ἀρείου βλάσφημα ῥήματα, κτίσμα καὶ ἐργαλεῖον τὸν υἱὸν τοῦ θεοῦ ἀποκαλῶν. ἄκουε τοίνυν πρὸς ἡμῶν, 7
ὦ φιλόσοφε, εἴπερ φιλόσοφος εἶ. καὶ πείθου μὴ αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ τὴν κτιστὴν σοφίαν τὴν λογιστικὴν τὴν τῷ ἀνθρώπῳ

1 Prov. 8, 22 — **2** Prov. 8, 26 — **14** vgl. S. 69, 18. 73, 5 — **16** Baruch 3, 26 — **17** Baruch 3, 28

A¹HR V¹P³ M²P¹P²

1 *τῆς γραφῆς* > P² **2** *ἐποίησε*] *ἔκτισε* H **6** *προσηγόρευε* M² | *καὶ*² > H **7** *δι' αὐτοῦ* > H | *δι'*² > H | *καὶ*² > P² **8** *θεοῦ*] *ἀνθρώπου* V¹ *εἰργάζετο* A¹HP² **9** *ὡς δι' ἐργαλείου* > V¹ **10** *ἐπισκόπων*] *πατέρων* R | *ἐπισκόπου* > A¹R **10f** *παμφίλου* R **12** *ἔξω που*] *ἔξω πρὸ* A¹R *ἔξω πῶς* P³ *πῶς ἔξω* V¹ **17** *ἐπιλέγει*] *ἐπάγει* V¹ **18** *ἐπὶ — συνανεστράφη* > H **19** *οἶδας* A¹R **20** *τῆς* > V¹ **21** *ὁμολόγησας* RHM²P¹ **24** *ὡς*] *ᾧ* aus *ὦ* corr. M² *ᾧ* P¹V¹ **27** *φιλόσοφε*] *φιλόσοφος* M²P¹P² **28** *σοφ ουσίαν* H | *τὴν*³ > P³

ὑπ᾽ αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ δοθεῖσαν τοῦ κτίσαντος χώρας καὶ ἀοικήτους. ἐπίστησόν σου τὸν νοῦν, μὴ πρὸς ἀπέχθειαν βλέπων, 8
ἀλλὰ πρὸς ἀλήθειαν καὶ ὁδηγήσει σε αὐτὴ ἡ ἀλήθεια, καὶ γνώσῃ
ὅτι οὐ κτίσμα ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ. ἀλλὰ αὐτὸς κτίστης καὶ
δημιουργὸς πασῶν τῶν κτιστῶν φύσεων. καθὼς καὶ αὐτὸς μικρὸν
διαβλέψας νενόηκας καὶ νοήσεις, ὥς γε ἐγὼ πεπίστευκα, εἴπερ σω-
θῆναι ποθεῖς.

Ἀντίρρησις τοῦ φιλοσόφου κατὰ τοῦ ἁγίου πνεύματος. ἔστω, νβ᾽ **21** 1
φησί, πιστὰ περὶ τοῦ υἱοῦ καὶ ἀναμφίλεκτα, ὥς φατε, ὅτι ἔκτισεν
ἢ ὅτι συνέκτισε τῷ θεῷ καὶ πατρί, ὡς αἱ μαρτυρίαι δηλοῦσι, καὶ ὅτι
οὐ ποίημα ἀλλὰ γέννημα τοῦ θεοῦ φύσει ἐξ αὐτοῦ γεγεννημένος καὶ
ἰδοὺ δεχόμεθα. μὴ καὶ περὶ τοῦ πνεύματος ἔχετέ τι λέγειν; τίς 2
γὰρ τολμήσειε φῆσαι τὸ ἅγιον πνεῦμα κτίστην τινῶν γενητῶν φύ-
σεων; ποῦ δὲ καὶ μαρτυρίαι περὶ αὐτοῦ λέγουσι δεδημιουργηκέναι
αὐτό τι τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων; τίς δὲ ὅλως ἀνε-
γράψατο περὶ αὐτοῦ ὡς περὶ τοῦ υἱοῦ; ἐκβοήσει τις ὑμῶν, εἰ ἔχοι.
ἀνταπόκρισις τῶν πατέρων διὰ Πρωτογένους ἐπισκόπου Σαρ- νγ᾽
δικῆς. οὐκ ἔστι δυσχερές, ὦ φιλόσοφε, ἐπιδεῖξαί σοι τὰς μαρτυρίας 3
τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος, ἃς οἱ πατέρες ἡμῶν ἐξέθεντο
περὶ αὐτοῦ, ὅτι ἔκτισε. πάλιν φήσωμεν τὸ περὶ τῆς κτίσεως ῥηθὲν
»καὶ εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« καὶ ἐπήγαγε λέγων »καὶ ἐποίησεν ὁ
θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν,
ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς«. ὡς οὖν θεός ἐστιν ὁ πα- 4
τὴρ ὁ εἰπὼν τῷ υἱῷ »ποιήσωμεν«, ὁ δὲ υἱὸς θεὸς ὢν ἐποίησε τὸν
ἄνθρωπον, εἰ οὖν θεὸν λέγομεν τὸν εἰπόντα καὶ τὸν ποιήσαντα τὸν
Ἀδὰμ καὶ τὴν Εὔαν, λοιπὸν ἄκουσον περὶ τοῦ ἁγίου πνεύματος· ὁ

21 Gen. 1, 26. 27

A¹HR V¹P³ M²P¹P²

1 ὑπ᾽ αὐτοῦ τοῦ υἱοῦ δοθεῖσαν τοῦ θεοῦ ∾ A¹ δοθεῖσαν τοῦ υἱοῦ ∾ R **2** σου] μοι A¹R σου aus μοι corr. H (vgl. 87, 10) **4** αὐτὸς + ὁ H **6** γε > V¹ **9** περὶ τοῦ υἱοῦ πιστὰ ∾ M²P¹P² | ἀμφίλεκτα A¹ **11** γεγεννημένον R **13** τὸ ἅγιον πνεῦμα φῆσαι ∾ R | γεννητῶν P² **14** λέγουσι (danach Rasur) περὶ αὐτοῦ ∾ A¹ | μαρτυρία λέγει περὶ αὐτοῦ R **15** αὐτῶ V¹P³ | ὅλως] λόγος R **16** ὑμῶν > R | ἔχει R **17** ἀπόκρισις M²P¹P² | πρωτογένου A¹R **17 f** σερδικῆς V¹P³ **20** φήσομεν RP²V¹ ἐρήσωμεν P³ **21 f** ἡμετέρα A¹ **24** ἄρσεν R | αὐτοὺς] αὐτὸν A¹R **25** ὁ εἰπὼν ποιήσωμεν τῷ υἱῷ (aber ὁ εἰπὼν nachträgl. eingefügt) R | ποιήσωμεν + ἄνθρωπον M²P¹P² **26** λέγει R

ποιήσας τὸν Ἀδὰμ θεὸς ἦν, ἢ οὔ; ὁ φιλόσοφος· ναὶ θεός ἐστιν. νδ′ 5
ὁ ἐπίσκοπος· ἐν τῇ βίβλῳ Ἰὼβ Ἐλιοὺμ ὁ Βουζανίτης λέγει πρὸς
Ἰὼβ »πνεῦμα θεῖον τὸ ποιῆσάν με«. εἰ οὖν θεός ἐστιν ὁ ποιή-
σας τὸν Ἀδάμ, τί εἶποις τὸν ποιήσαντα τὸν Ἐλιούμ; ἢ ἑτεροούσιος
δοκεῖ σοι εἶναι ὁ Ἐλιοὺμ τοῦ Ἀδάμ; τῶν γὰρ δημιουργῶν ἐπὶ τῆς
ἴσης ἐπιστήμης τὸ ἰσοσχέδιον τοῦ συμπεράσματος φανεροῦσθαι πέφυκεν
ἐπὶ τὸ τοῦ ἀνθρώπου πρόσωπον. τί οὖν λέξεις, φιλόσοφε, τὸν 6
ποιήσαντα τὸν Ἐλιούμ; ἆρα οὐχὶ θεὸν καὶ ποιητὴν ἀνθρώπου; ὡς
γὰρ ἔφη περὶ τοῦ ποιήσαντος τὸν Ἀδὰμ »καὶ ἐποίησεν ὁ θεὸς
τὸν Ἀδάμ«. οὕτως εἰπεῖν ἡμᾶς δίκαιον καὶ περὶ τοῦ ποιήσαντος τὸν
Ἐλιούμ, ὅτι θεὸς τὸ ἅγιον πνεῦμα· ὧν γὰρ ἴση τῆς δημιουργίας ἡ
πλάσις, ἴση καὶ ἡ τῶν δημιουργῶν προσηγορία, εἴπερ μία θεότης τῆς
ἁγίας τριάδος ἐν τρισὶν ὑποστάσεσι τελείαις καὶ ἴσαις νοουμένη. ἐν 7
βίβλῳ δὲ ἀναλήψεως Μωσέως Μιχαὴλ ὁ ἀρχάγγελος διαλεγόμενος
τῷ διαβόλῳ λέγει »ἀπὸ γὰρ πνεύματος ἁγίου αὐτοῦ πάντες
ἐκτίσθημεν« καὶ πάλιν λέγει »ἀπὸ προσώπου τοῦ θεοῦ ἐξῆλθε
τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ κόσμος ἐγένετο«· ἴσον ἐστὶ τοῦτο τοῦ
»πάντα δι᾽ αὐτοῦ ἐγένετο«. ἀχώριστος γὰρ ἀεὶ ἡ θεία καὶ ἄρρητος 8
τριάς, ὅ τε πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, δημιουργήσασα
ἅμα πᾶσαν τὴν κτίσιν τήν τε νοητὴν καὶ αἰσθητήν. λέγει γὰρ 9
καὶ ἐν τῷ λβ′ ψαλμῷ· »τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώ-
θησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις
αὐτῶν«. ἄκουε δὴ τοῦ θεοῦ ἐν Ἡσαΐᾳ λέγοντος »ἐγὼ κύριος ὁ
θεός σου, ἐπακούσομαί σου θεὸς Ἰσραήλ«. εἰπὼν δὲ περὶ τῶν 10
εὐεργεσιῶν τὰ πρὸς τὸν λαὸν ἐπάγει λέγων »ἵνα ἴδωσι καὶ νοή-
σωσι καὶ ἐπίστωνται ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε πάντα
ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν αὐτά«, χεῖρα φή-
σας τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ. ἅγιον δὲ τοῦ Ἰσραὴλ τὸν υἱὸν αὐτοῦ.

3 Hiob 33, 4 — **9** Gen. 1, 27 — **14** vgl. Lueken, Michael 120ff — **18** Joh. 1, 3 — **21** Psal. 32, 6 — **23** Jes. 61, 14 — **25** ebd. 20

A¹HR V¹P³ M²P¹P²

2 *Ἐλιοὺβ* A¹R | *Ἐλιοὺμ* — **3** *Ἰὼβ* > H **4** *ἢ* — **5** *Ἐλιούμ* > P³ | *ἑτερούσιος* P³ (Balf.) **5** *τὸν γὰρ δημιουργὸν* P² **11** *ὧν*] *ὃν* V¹P³ | *γὰρ* M²P¹P² > d. übr. HSS | *ἴση* — **13** *τριάδος* > R **13** *νοουμένη* + *τὸ ὅτι »καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον« καὶ »τὸ θεῖον πνεῦμα τὸ ποιῆσαν τὸν Ἐλιούμ«* V¹P³M²P¹P² **15** *τῷ διαβόλῳ* > R | *ἔλεγεν* R **17** *ἴσον* — **18** *ἐγένετο* > P³ **19** *καὶ*¹ > A¹R **20** *καὶ* + *τὴν* V¹P³ **21** *λβ′*] *τριακοστῷ δευτέρῳ* M²P¹P² **24** *δὲ* + *τὰ* R **25** *τὰ* > R **26** *ἐπίστανται* H **26f** *ταῦτα πάντα* ∾ A¹M²P¹P² *πάντα* > R

καὶ πάλιν πρὸς Ἰακὼβ εἶπεν »ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν 11
καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν«, καθὰ καὶ Ἰεζεκιὴλ
λέγει »ἐγένετο χεὶρ κυρίου ἐπ' ἐμέ«. εἴωθεν ἡ γραφή, ὦ φι- 12
λόσοφε, ἢ χεῖρα ἢ βραχίονα καλεῖν τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ,
δεξιὰν δὲ τὸν υἱὸν αὐτοῦ. ἔτι οἱ ἅγιοι πατέρες εἶπον διὰ Λεον- νε'
τίου ἐπισκόπου Καισαρείας Καππαδοκίας· ἱκανὰ μὲν τὰ λεχθέντα 13
περὶ τῶν ἐνεργειῶν τοῦ ἁγίου πνεύματος πεῖσαί σε, φιλόσοφε, ὅτι
συνδημιουργὸν τῷ πατρὶ καὶ τῷ υἱῷ πασῶν τῶν κτιστῶν φύσεων καὶ
τῆς αὐτῆς θεότητος καὶ οὐσίας, ἧς ὁ πατὴρ καὶ ὁ υἱός. ἐπιστήσας 14
οὖν τὸν νοῦν σου ἐκ τῶν προλεχθέντων σοι ἄκουε καὶ νῦν σαφε-
στέρας ἀποδείξεις περὶ αὐτοῦ ἐκ τῶν ἱερῶν γραφῶν. λέγει ὁ προ-
φήτης Δαυὶδ ἐν τῷ ζ' ψαλμῷ »ᾄσατε τῷ κυρίῳ ᾆσμα και-
νόν«. διὰ τί; »ὅτι θαυμαστὰ ἐποίησεν ὁ κύριος, ἔσωσεν
αὐτὸν ἡ δεξιὰ αὐτοῦ« — ἀντὶ τοῦ ὁ υἱὸς αὐτοῦ — »καὶ ὁ
βραχίων ὁ ἅγιος αὐτοῦ« — τὸ πνεῦμα λέγων τὸ ἅγιον. καὶ 15
ἐν καθολικαῖς δὲ Ἰωάννης ὁ εὐαγγελιστὴς βοᾷ περὶ τοῦ πνεύματος
τοῦ ἁγίου θεολογῶν αὐτὸ καὶ αὐτὸς καθὰ καὶ πάντες »τὸ πνεῦμά
ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια« καὶ μετ'
ὀλίγα »ὁ πιστεύων, φησίν, εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν
μαρτυρίαν τοῦ θεοῦ ἐν ἑαυτῷ« — ἀντὶ τοῦ τὸ πνεῦμα τοῦ
θεοῦ — »ὁ δὲ μὴ πιστεύων τῷ υἱῷ ψεύστην πεποίηκεν αὐ-
τόν«. καὶ ὁ μέγας δὲ τῶν ἀποστόλων πρόβολος ὁ θεῖος Πέτρος 16
φησὶ πρὸς Ἀνανίαν »εἰς τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν
σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον«; καὶ μετ' ὀλίγα »οὐκ
ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ« καὶ ἐν τῇ παλαιᾷ πάλαι
»τὸν οὐρανόν, φησί, καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος«.
καὶ ὁ Σολομὼν δὲ δεικνύς, τίς ὁ πληρῶν, λέγει »πνεῦμα κυρίου

1 Jes. 48, 12f — **3** Ezech. 3, 22 — **12ff** Psal. 97, 1 — **17ff** I Joh. 5, 6. 10 — **23f** Act. 5, 3. 4 — **26** Jerem. 23, 24 — **27** Weish. Sal. 1, 7

A^1HR V^1P^3 $M^2P^1P^2$

3 εἴω$^{\vartheta}$ + γὰρ A^1R **4** ἢ^1 > A^1R **5** υἱὸν + τοῦ υἱοῦ P^3 | ἔτι] ὅτι P^3 | εἶπον A^1HR εἶπαν d. übr. HSS **5f** λέοντο (= Λέοντος) R **7** σε + ὦ $HM^2P^1P^2$ **8** υἱῷ + τὸ ἅγιον πνεῦμα R **11** ἀποδείξεις > R **12** ζ' A^1H ἐνενηκοστῷ ἑβδόμῳ d. übr. HSS **15** λέγει R **16** καθολικαῖς] καθαρῷ R **17** τοῦ + αὐτοῦ τὸ πνεῦμα λέγων τὸ ἅγιον aber wieder gestrichen H | καὶ αὐτὸς > $M^2P^1P^2$ **18** τὸ^1 > M^2 | τὸ^1 — ἐστιν^2 > V^1 **19** τοῦ θεοῦ > R **20** αὐτῷ $M^2P^1P^2$ | τὸ > P^2 **22** δὲ > H | ἀποστόλων + ὁ A^1R **23** εἰς > $HM^2P^1P^2$ **26** φησὶ > R, nach γῆν V^1

πεπλήρωκε τὴν οἰκουμένην«. πείθου τοίνυν καὶ περὶ τῆς τοῦ 17
ἁγίου πνεύματος δεσποτείας καὶ δέχου καὶ τὰς περὶ αὐτοῦ μαρτυρίας,
πιστεύων ὅτι τῆς αὐτῆς θεότητος καὶ οὐσίας καὶ τοῦ αὐτοῦ χρήμα-
τος τὸ πνεῦμα τὸ ἅγιον, οὗπερ ὁ πατὴρ καὶ ὁ υἱός, συνυπάρχον ἀεὶ
τῷ πατρὶ καὶ τῷ υἱῷ. ἀκούεις, φιλόσοφε; **ἀπόκρισις τοῦ φιλοσόφου** νς'
πρὸς τοὺς ἁγίους ἡμῶν πατέρας· οὐκοῦν, καθώς φατε καὶ αἱ μαρτυρίαι 18
δὲ τῶν γραφῶν ὧν παρηγάγετε δηλοῦσι, θεολογεῖν δεῖ καὶ τὸ πνεῦμα
τὸ ἅγιον· καί μοι δοκεῖ βεβιασμένην εἶναι τὴν ἔννοιαν, εἰ μὴ τὰ
τῶν γραφῶν ὑφ' ὑμῶν παρήχθη. πλὴν τὸ μὲν περὶ Ἐλιοὺμ τοῦ 19
Βουζανίτου σαφὴς ἡ ἀπόδειξις, περὶ δὲ τῆς ῥηθείσης ἀναλήψεως
Μωσέως περὶ ἧς ἀρτίως εἰρήκατε οὐδὲ ἀκηκόειν ποτὲ εἰ μὴ νῦν·
ὅθεν αἰτῶ ὑμᾶς σαφεστέραν μοι τῶν λεχθέντων παραστῆσαι τὴν
σύστασιν. οὐδὲ γάρ μοι αὐτάρκη τὰ ἤδη παρ' ὑμῶν λεχθέντα πρὸς 20
ἐντελεστάτην πληροφορίαν περὶ τοῦ πνεύματος, λευκοτέρας ⟨δὲ⟩ δεῖ-
ται φράσεως καὶ γενναιοτέρας ἡ ὑπόθεσις. οὐ γὰρ περὶ τῶν τυχόν-
των ἡ ζήτησις. **ἀπόκρισις τῶν ἁγίων ἡμῶν πατέρων διὰ τοῦ** νζ'
αὐτοῦ ἐπισκόπου Λεοντίου πρὸς τὸν φιλόσοφον· πολλῆς οὔσης 21
τῆς τῶν εἰσηγηθέντων σοι ἀποδείξεως καὶ ἐναργεστάτων τῶν μαρ-
τυριῶν τῶν ἐκ τῶν θείων γραφῶν πεῖσαί σε δυναμένων περὶ τῆς
προκειμένης ὑποθέσεως, ὦ φιλόσοφε, θαυμάζομεν, πῶς τοσαύτης
συνέσεως δοκῶν ἔμπλεως εἶναι ἔτι ἀμφιβάλλεις. ἀλλ' ἐπειδή σε 22
πρὸς τὴν ἀλήθειαν βλέπειν ἐθέλομεν καὶ τοῦτο εὐχόμεθα, παραινοῦ-
μέν σου τῇ συνέσει ἄρξασθαι πίστει νοεῖν τὴν ἄκτιστον φύσιν ἐκείνην
καὶ ἄτρεπτον, καὶ μὴ ἀνθρωπίνοις λογισμοῖς, ὡς πολλάκις εἰρήκαμεν,
πολυπραγμονεῖν κατατόλμα τὰ ὑπὲρ νοῦν, μηδὲ ταῖς κακοδόξοις καὶ
ἀσεβέσιν ἐννοίαις Ἀρείου συμφύρεσθαι ἐπὶ πλεῖστον ὅσον ἀνέχου
φιλόσοφος ὤν, ὡς φής, φιλόσοφε, ἀλλὰ δέχου πιστῶς, ὡς ἀρτίως
εἰρήκαμεν, τά τε νῦν ῥηθέντα σοι τά τε μέλλοντα ῥηθήσεσθαι. δέ- 23
χου μίαν θεότητα τοῦ πατρὸς τοῦ γεννήσαντος τὸν υἱὸν ἀνεκφρά-
στως καὶ τοῦ υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ καὶ τοῦ ἁγίου πνεύ-
ματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ πατρός, ἰδίου δὲ ὄντος τοῦ

A¹HR V¹P³ M²P¹P²

1f τοῦ ἁγίου πνεύματος τῆς δεσποτείας ∾ H **3f** καὶ — χρήματος > P³ **4** συνυπάρχει R συνυπάρχων P² **6** ἡμῶν > R **7** καὶ > R **9** ἡμῶν RV¹P³ | τὸ corr. in τοῦ A¹ τοῦ R **11** ἠκηκόειν HRM²P¹P² **12** μοι nach λεχθέντων M²P¹P² **13—14** πρὸς ἐντελεστάτην γὰρ πληροφορίαν περὶ τοῦ πνεύματος οὐκ αὐτάρκη τὰ—λεχθέντα ∾ V¹P³ **14** λευκοτέρας] λεπτοτέρας R | λευκοτέρας + γὰρ V¹P³ **16** ἡμῶν > P³ **17** λέοντος R **25** μηδὲ] μὴ A¹RP³ **26** συμφύρεσθαι V¹M²P¹P² συμφύεσθαι A¹HR συμφέρεσθαι P³ | ὅσον > M²P¹P²

υἱοῦ. καθά φησιν ὁ θεῖος ἀπόστολος Παῦλος »εἴ τις πνεῦμα Χρι- 24
στοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ« καὶ ἀλλαχοῦ ὁ αὐτὸς
»ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι« καὶ πάλιν »διαιρέσεις δὲ χα-
ρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν
εἰσιν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν,
ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι« καὶ μετ' οὐ
πολλὰ »πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα,
διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται«. ἰδού, ὦ φιλόσοφε, 25
σαφεστάτη καὶ τρανοτέρα ἀπόδειξις θεολογοῦσα τὸ πνεῦμα τὸ ἅγιον,
δεικνύουσα αὐτοῦ τὴν αὐτεξουσιότητα. ὅρα πῶς ὧδε λέγει »διαιρέ-
σεις δὲ ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ
πάντα ἐν πᾶσι« καὶ τὸ »πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ
τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλε-
ται«. καὶ ὁ κύριος δὲ ἐν εὐαγγελίοις, ὡς οἶσθα, σαφῶς διαλεγό- 26
μενος πρὸς τὴν Σαμαρείτιδα, τί φησι; »πνεῦμα ὁ θεός«. εἰ οὖν
πνεῦμα ὁ θεός, πάντως θεὸς καὶ τὸ πνεῦμα· ἀλλ' οὐκ ἄλλος καὶ
ἄλλος, ἀλλὰ μία θεότης τῶν θατέρων προσώπων κατὰ τὴν τῶν
ὑποστάσεων ἔννοιαν. ἀλλὰ πρόσωπον ἀκούοντες, μὴ ἀνθρωπόμορ- 27
φον τὸ θεῖον ὑπολάβωμεν. ἀσύνθετον γὰρ καὶ ἀσχημάτιστον, καθὼς
καὶ ἐν ἀρχῇ τῶν λόγων καὶ αὐτὸς ὡς καὶ ἡμεῖς καθωμολόγησας. καὶ 28
γὰρ καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ πρόσωπον ἔχειν μεμαρτύρηται, καθὰ
αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις πρὸς τοὺς γραμματεῖς καὶ Φαρισαίους
διαλεγόμενος ἔφη »ὑποκριταί, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ
τῆς γῆς οἴδατε δοκιμάζειν« καὶ τὰ ἑξῆς. πᾶν γὰρ τὸ ὑφεστὸς 29
ἐφ' ὅσον ὑφίσταται, πρόσωπον ἔχειν λέγεται τῆς οἰκείας φύσεως ἤτοι
σχῆμα. ἀλλὰ μὴν ὁ οὐρανὸς καὶ ἡ γῆ κτιστά. καθὰ καὶ πᾶσα ἡ τῶν
γενητῶν φύσις. ἡ δὲ θεία καὶ ἄρρητος οὐσία ἄκτιστος. ἐπείπερ ἁπλῆ

1 Röm. 8, 9 — **3. 10** II Kor. 3, 17 I Kor. 12, 4. 6 — **7. 12** ebd. 11 — **15** Joh. 4, 24 — **20** vgl. S. 64, 17. 65, 22 — **23** Luk. 12, 56

A¹HR V¹P³ M²P¹P²

3 *διαίρεσις* M² **4** *εἰσὶ* — **5** *ἐνεργημάτων* > H **4. 5. 10f** *διαίρεσις* M² (am Rand von anderer Hd. *διαιρέσεις*) **5** *αὐτὸς δὲ* ∼ R **6f** *μετ' οὐ πολλὰ* P³ *μετὰ πολλὰ* d. übr. HSS **7** *ταῦτα δὲ πάντα* ∼ A¹R **9** *τρανωτέρα* A¹RV¹ **12** *δὲ* > P² | *ταῦτα* > M²P¹P² **13** *διαιροῦν* + *τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα* R **14** *ἐν* > aber vor *εὐαγγελίοις* Correcturvermerk P³ **15** *τί* > H **16** *ὁ* > P³ **16f** *ἄλλως καὶ ἄλλως* P² **17** *μία* + *ἡ* R **19** *γὰρ*] *δὲ* HM²P¹P² **21** *καὶ*¹ > M²P¹P² **23f** *καὶ τῆς γῆς* > H **25** *ἐφίσταται* P³ **27** *γεννητόρων* H *γεννητῶν* P³ *γενητῶν* corr. aus *γεννητῶν* P² | *ἁπλοῦς* R

καὶ ἀσύνθετος καὶ ἀσχημάτιστος ἀίδιός τε καὶ ἀθάνατος. ἀλλ' ἐπὶ 30
τὸ προκείμενον ἐπανέλθωμεν. ἀπεδείξαμεν διὰ πλειόνων τῶν ἐκ τῶν
θείων γραφῶν μαρτυριῶν συνδημιουργὸν τῷ πατρὶ καὶ τῷ υἱῷ πά-
σης κτίσεως ὁρωμένης τε καὶ νοουμένης εἶναι τὸ πνεῦμα τὸ ἅγιον,
ἐπείπερ καὶ ἀχώριστον ἀεί ἐστι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καθὰ καὶ
ὁ υἱὸς τοῦ πατρὸς καὶ ὁ πατὴρ τοῦ υἱοῦ. δεῦρο δέ, εἰ δοκεῖ. λάμ- 31
βανε καὶ δι' ὑποδειγμάτων εἰ καὶ ἀσθενεστέρων χρηστὰς ὑποθήκας·
ὁ λόγος ὁ σὸς καθὰ καὶ παντὸς ἀνθρώπου προφορικὸς μέν ἐστι,
γεννᾶται δὲ ἀτμήτως ἐκ τοῦ σοῦ νοῦ. ὁμοίως καὶ τὸ πνεῦμά σου
καὶ ἐκπορεύεται ἐκ σοῦ· καὶ οὐκ ἂν οὐδὲ τὸν λόγον σου οὔτε τὸ
πνεῦμά σου εἴποις ἀλλότριόν σου. καὶ ταῦτα μὲν οὐκ ἂν ἀπα- 32
ξιώσῃς ἐπ' ἀνθρώπων νοεῖν, ἐπὶ δὲ τῆς ἀῤῥήτου καὶ ἀπερινοήτου καὶ
ἀκαταλήπτου οὐσίας ἐκείνης τοῦ θεοῦ ἀλλότριον ⟨ἐρεῖς⟩ τὸν οὐ προφο-
ρικὸν αὐτοῦ λόγον ἀλλὰ ζῶντα ἀεὶ καὶ ἐνεργῆ καὶ τομώτερον
ὑπὲρ πᾶσαν μάχαιραν δίστομον κριτήν τε πάντων ὄντα ἐπείπερ
καὶ δημιουργόν; ᾧ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ,
πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.
καὶ τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον τὸ ἐρευνῶν καὶ τὰ βάθη τοῦ 33
θεοῦ τολμᾷ τις ἀλλότριον εἶναι εἰπεῖν ἢ τὸν λόγον ἢ τὸ πνεῦμα
τοῦ θεοῦ ἢ τοὺς ταῦτα λέγοντας προσίεσθαι; ναί, φιλόσοφε.

Ἀπόκρισις τοῦ φιλοσόφου πρὸς τὸ κοινὸν τῶν ἁγίων ἐπι- *νη'*
σκόπων· ἐπειδὴ εἰς ὑψηλοτέραν ἔννοιάν με ἠγάγετε φήσαντες δεῖν 22 1
μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος, ἐπιμέμνημαι δὲ τῶν παρ' ὑμῶν ἔμπροσθεν
ῥηθέντων, ὅτι θεὸς ὁ πατὴρ καὶ θεὸς ὁ υἱὸς καὶ θεὸς τὸ πνεῦμα
τὸ ἅγιον, νῦν δέ φατε μίαν θεότητα τῶν τριῶν τελείων ὑποστά- 2
σεων τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. λευκότερον

14 ff vgl. Hebr. 4, 12f — **18** vgl. I Kor. 2, 10

A¹HR V¹P³ M²P¹P²

1 καὶ² > M² **4** νοουμένης τε καὶ ὁρωμένης ∼ A¹R **5** ἐστιν ἀεὶ ∼ A¹R **7** καὶ¹ > R **8** μὲν > R **9** ἀτμήτως + καὶ A¹HRP³ | σοῦ¹ > P³ | ὁμοίως + δὲ H **10** οὐδὲ A¹RV¹P³ οὔτε d. übr. HSS | οὔτε] οὐδὲ R **11** εἴπῃς A¹R **11 f** ἀπαξιώσαις M²P¹P² **12 f** καὶ ἀκαταλήπτου > R | ἐκείνης οὐσίας ∼ A¹ | ἐκείνης > R **13** corr. Holl, Ltz. **15** κριτήν τε] καὶ τήν τε (am Rand von späterer Hd. das Richtige) M² **16** ᾧ] ὧν M²P¹P² **18** τὸ ἅγιον αὐτοῦ ∼ A¹R | καὶ² > P³ **19** εἶναι > R **21 f** ἐπισκόπων] πατέρων M²P¹P² **24** ἐπιμέμνηται P³ | δὲ > A¹R | τῶν > R | ὑμῖν P¹V¹P³ **25** καὶ¹ > RM²P¹P² | καὶ² > R

σαφηνίσατέ μοι τὰς ῥήσεις, παρακαλῶ. ἀπόκρισις τῶν ἁγίων πα- νθ'
τέρων πρὸς τὸν φιλόσοφον διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου·
ἀνέκφραστός ἐστιν ἐπείπερ καὶ ἀπερινόητος καὶ ἀνεπιλόγιστος καὶ 3
πάντη ἀνεξιχνίαστος ἡ θεία καὶ ἄρρητος οὐσία ἐκείνη ἡ τὰ πάντα
ὑπερέχουσα καὶ τὰ πάντα περιέχουσα. πλὴν ἄκουε πρὸς ἡμῶν· 4
οὐκ ἄλλον σοι θεὸν καὶ ἄλλον εἰρήκαμεν, καθάπερ ὁ ἀσεβὴς ἐβλασφή-
μησεν Ἄρειος ἕνα θεὸν ἄκτιστον καὶ ἄλλον κτιστὸν εἰρηκὼς καὶ τὸ
πνεῦμα τοῦ θεοῦ ὁμοίως κτιστὸν κεκηρυχὼς — μὴ γένοιτο —, ἀλλὰ
μίαν θεότητα νοεῖσθαι καὶ πιστεύεσθαι εἰρήκαμεν μίαν οὐσίαν κυρι-
ότητά τε καὶ βουλὴν μίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου 5
πνεύματος, εἰδέναι τε τὰς τῆς ἁγίας τριάδος ὑποστάσεις οὐ διεζευγμέ-
νας οὐδὲ τοπικάς, ἀλλὰ πίστει μόνῃ μίαν θεότητα νοεῖσθαι καὶ πι-
στεύεσθαι, καθὰ καὶ πολλάκις εἰρήκαμεν, τῆς ἁγίας καὶ ὁμοουσίου
καὶ προσκυνητῆς τριάδος. ἰδοὺ διὰ πάντων ἔδειξεν ἡ ἀληθὴς πί- 6
στις μὴ δεῖν ἐπὶ τῆς ἁγίας τριάδος νοεῖν διαφοράν. ὧδε δὲ μικρόν
σου τὸν νοῦν δοῦναι ἡμῖν ἐθέλησον καὶ πιστωθήσῃ ἐπὶ πλεῖον, δεχό-
μενος ὑπὸ τοῦ ἁγίου πνεύματος δι' ἡμῶν σωτηριώδεις ὑποθήκας, ἵνα
γνῷς τῆς ἁγίας τριάδος μίαν θεότητα ἀεὶ οὖσαν καὶ ὑφεστῶσαν,
τριάδα ἀληθῶς τριάδα καὶ μηδὲν ἐν αὐτῇ προϋπάρχον ποτέ, ἀλλὰ
ἀεὶ καὶ ὡσαύτως οὖσαν ἀδιαίρετον καὶ ὁμοούσιον τριάδα. ἀπόκρισις ξ'
τοῦ φιλοσόφου· μή με οἴεσθε ἀποστρέφεσθαι τὰ τῆς ἀληθείας 7
δόγματα, ἢ γὰρ ἂν ἐκ πρώτης καταρχῆς τῶν λόγων παρωσάμην
ὑμῶν τοὺς λόγους, ἀλλὰ διὰ τοῦτο διερευνῶ τὰς τῶν νοημάτων
ὑμῶν σημασίας, ἵνα σαφεστέρα μοι καὶ διευκρινὴς γένηται ἡ τῶν
λεγομένων παρ' ὑμῶν ὑπόθεσις. ἀπόκρισις τῶν ἁγίων πατέρων ξα'
ὑποθετικὴ πρὸς τὸν φιλόσοφον περὶ πυρὸς καὶ ἀπαυγάσματος
καὶ φωτὸς διὰ τοῦ αὐτοῦ Λεοντίου ἐπισκόπου· ἄκουε δὴ καὶ νῦν, 8
ἄκουε, ὦ φιλόσοφε. ἤδη προϋπεθέμεθά σου τῇ διανοίᾳ διὰ πλείστων

A¹HR V¹P³ M²P¹P²

1f *πατέρων*] *ἐπισκόπων* R **2** *ἐπισκόπου λεοντίου* ∾ M²P¹P² *ἐπισκόπου* > H **5** *πρὸς*] *παρ'* P² **6** *σοι* + *τὸν* H | *καθάπερ* + *καὶ* V¹P³ **7** *ἄλλον*] *ἕνα* R **9** Nach *εἰρήκαμεν* größerer Raum A¹ **10** *τε* > R | *τοῦ πατρὸς*] *οὐσίαν* P³ **13** *καὶ*¹ > M²P¹P² **14** *διὰ*] *δὴ* H **16** *θέλησον* P² **17** *ἀπὸ* Holl | *ὑμῶν* R **20** *καὶ*¹ > H | *οὖσαν ἁπλῆν καὶ ἀδιαίρετον τριάδα καὶ ὁμοούσιον* R **22** *ἤ*] *οὐ* RP² | *ἐκ πρώτης κατ' ἀρχὴν* A¹R . **23** *ἐρευνῶ* V¹P³ **24** *μοι σαφεστέρα* ∾ R | *μοι* > A¹ **26** *περὶ* + *τοῦ* M² (wo es aber von 1. Hd. wieder gestrichen), P¹ **27** *λέοντος* R | *καὶ*² > (kann aber ursprüngl. gestanden haben) A¹ **28** *ὦ φιλόσοφε ἄκουε* ∾ R | *προυπεθέμεθα* Balfor. *προαπεθέμεθα* HSS

ὅσων τῶν ἐκ τῶν θείων γραφῶν, ὅτι ἡ θεότης ἁπλῆ τίς ἐστι καὶ ἀσύνθετος, ὡς καὶ αὐτὸς καθωμολόγησας ἐν ἀρχῇ σου τῶν προτάσεων, καὶ ὅτι πῦρ ἀθάνατόν τε καὶ ἄϊδιον καὶ ἄκτιστον οὖσα 9
τῇ φύσει φῶς τε ἀχώρητον καὶ ἀκατάληπτον καὶ οὐκ ἐν ἑνὶ
προσώπῳ κατὰ τὸ δοκοῦν Ἰουδαίοις νοουμένη, ἀλλ' ἐν τριάδι
ἀεὶ ἀχωρίστοις οὖσι προσώποις παρὰ πᾶσι Χριστιανοῖς πεπίστευται
καὶ κηρύττεται ἡ ἀχώριστος τριὰς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ
ἁγίου πνεύματος, καθάπερ ἀποδέδεικται. μάνθανε δὲ καὶ νῦν, ὦ 10
φιλόσοφε — εἰ καὶ τολμηρὸν ποιοῦμεν, ἀλλὰ ἵλεως ἡμῖν ἡ θεία με-
γαλειότης· ὑπὲρ γὰρ τῆς σῆς καὶ τῶν λοιπῶν σωτηρίας ὁ πόνος ἡμῖν
διανύεται — μάνθανε τοίνυν ἐκ τῶν αἰσθητῶν περὶ τῶν νοητῶν
καὶ ἐκ τῶν κατὰ νοῦν περὶ τῶν ὑπὲρ νοῦν καὶ ἐκ τῶν λεγομένων περὶ
τῶν ὑπὲρ λόγον, εἰ καὶ ἀσύγκριτα πάντα τά τε ὁρώμενα τά τε νοούμενα 11
τῶν τε »ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων« κτισμά-
των πρὸς τὴν ἄκτιστον ἐκείνην καὶ ἀκατάληπτον καὶ ἀθάνατον τοῦ
θεοῦ οὐσίαν· πλὴν τὸ ἐμπεσὸν ὑπόδειγμα οὐ μέτριον πρὸς ὠφέλειαν
τοῖς πιστῶς δεχομένοις, ἀλλ' ἱκανὴν εἰκόνα παρέχον τῆς εὐσεβείας
τοῖς εὐσεβῶς ἐθέλουσι νοεῖν λέξωμεν. τὸ αἰσθητὸν τοῦτο πῦρ φύ- 12
σις μία ὂν ἤτοι οὐσία τριάς ἐστι κατὰ ταὐτό, πῦρ ἀπαύγασμα φῶς.
καὶ οὐδὲν τούτων προϋπάρχον τοῦ θατέρου εὑρίσκεται, ἀλλ' ἔστιν
ἀχωρίστως ἀλλήλων τὰ τρία, τὸ πῦρ, τὸ ἐξ αὐτοῦ ἀπαύγασμα καὶ τὸ
φῶς. διαχώρισον τοίνυν, εἰ δύνῃ, ὦ φιλόσοφε, τὰ τρία καὶ δεῖξον 13
ἡμῖν θάτερον τοῦ θατέρου προϋπάρχον· ἢ τοῦ ἀπαυγάσματος τὸ πῦρ
καθ' ἑαυτὸ προϋπάρχον καὶ μεταγενέστερον μετὰ χρόνους τινὰς τοῦ
πυρὸς τὸ ἀπαύγασμα, ἢ μεταγενέστερον πάλιν ἢ μεταχρόνιον τοῦ
πυρὸς καὶ τοῦ ἀπαυγάσματος τὸ φῶς ἢ προχρόνιον. δεῖξον ἡμῖν, 14
εἰ δύνῃ, διαχωρίσας ἀπ' ἀλλήλων τὰ τρία καὶ μὴ οὐχὶ ὡσαύτως ὂν
πῦρ ἀπαύγασμα φῶς, μιᾶς οὔσης τῆς τοῦ πυρὸς φύσεως. ταῦτα 15
κατὰ νοῦν λαβὼν τὰ αἰσθητὰ καὶ κτιστά, εἰ καὶ ἀσύγκριτα, ὡς ἀρ-
τίως εἰρήκαμεν, πρὸς τὴν ἄϊδιον καὶ ἄκτιστον τοῦ θεοῦ οὐσίαν, πλὴν

2 vgl. S. 64, 17. 65, 22 — 14 Phil. 2, 10

A¹HR V¹P³ M²P¹P²

2 ἀσύνετος P¹ 4 οὐκ > P² | ἐν > HP² 5 τρισὶν Hein. 6 πιστεύεται P³ 8 δὲ > R | ὦ > H 13 ἀσύγκριτα + τὰ A¹RP² 14 οὐρανίων V¹P³ 15 ἀθάνατον] ἀθέατον R 17 ἀσεβείας P³ 19 κατ' αὐτὸ A¹R | ἀπαύγασμα + καὶ H 20 τοῦ > RM²P¹P² 21 ἀλλήλων > M²P¹P² | καὶ > A¹R 22 τοίνυν] οὖν R 23 τοῦ¹ > M²P¹P² | ἢ — 24 προυπάρχον > A¹R 24f τοῦ πυρὸς > M²P¹P² 25 τοῦ] τὸ M² 29 καὶ¹ + τὰ A¹R 29f ἄρτι R 30 ἄκτιστον] ἄστεκτον A¹RP³

δέχου ἐκ τούτων ἀφορμὰς σωτηρίους καὶ πτερώσας τῇ πίστει τὸ τῆς διανοίας σου ὄμμα ἀνάβηθι ἐπὶ τὴν ὑψηλὴν τοῦ θεοῦ ἐπίγνωσιν· καὶ ἀπαντήσει σοι, ὥς γε εὐχόμεθα καὶ πιστεύομεν, ἐναστράπτουσά 16
σοι ἡ χάρις ἡ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, δεικνύουσά σοι μίαν θεότητα, πῦρ οὖσαν ἀθάνατον καὶ ἀπαύγασμα καὶ φῶς, ἁπλῆν καὶ ἀσύνθετον ἀχώριστον ἀδιαίρετον ἀπερινόητον καὶ ἀνέκφραστον, τριάδα ἀληθῶς ὁμοούσιον τὴν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Ὅπου πιστεύει ὁ φιλόσοφος εἰς τὴν ἁγίαν τριάδα. *ταῦτα ξβ′* 17
ἀκούσας ὁ φιλόσοφος καὶ ὡς ἐν ἐκστάσει γενόμενος ἀπηνεώθη ἐπὶ πλεῖστον ὅσον καὶ »οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτὸν« φόβος τε πολὺς ἐπέπεσεν ἐπ᾽ αὐτόν· εἶτα εἰς ἑαυτὸν ἐλθὼν ἀνεκραύγασε μέγα, εἰπών· δόξα σοι, ὁ θεὸς ὁ ἐμπνεύσας τούτοις τοῖς ἁγίοις σου 18
τὸ ὑπὲρ πάντα νοῦν μυστήριον τῆς ἀχράντου καὶ ἀχωρίστου καὶ ἀκτίστου θεότητος· ἀλλὰ δέομαί σου, Χριστέ, ὡς παναγάθου πατρὸς παναγάθου υἱός, πάρες ἅπερ εἰς σὲ ὑπαχθεὶς ταῖς ἀσεβέσι παρὰ τοῦ Ἀρείου δόξαις ἥμαρτον, καὶ μὴ εἰσπραχθήσομαι δίκας παρὰ σοὶ τῷ δικαίῳ κριτῇ ὑπὲρ τῶν ἀσεβῶν ῥημάτων ἐκείνων, ὧν κατὰ σοῦ ἀπέφηνα ὁ τάλας. οὐαὶ Ἀρείῳ καὶ τῇ συμμορίᾳ αὐτοῦ τῇ ἀσεβεῖ, 19
βλασφημήσασιν εἰς τὸν υἱὸν τοῦ θεοῦ [λέγουσιν] »ἦν ποτε ὅτε οὐκ ἦν καὶ ὅτι κτίσμα καὶ ποίημα καὶ ἐξ ἑτέρας οὐσίας ὁ υἱὸς τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ μὴ τῆς αὐτῆς οὐσίας ἦς ὁ πατὴρ εἰρηκόσι τὸν υἱὸν τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον«. ἀναθεματίζω 20
νῦν καὶ πάντοτε Ἄρειον καὶ τὰς ἀσεβεῖς αὐτοῦ δόξας καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας πάντας καὶ τοὺς βλασφημοῦντας κατά τε τοῦ πατρὸς κατά τε τοῦ υἱοῦ καὶ κατὰ τοῦ ἁγίου πνεύματος· ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων οὐδὲ τὸν πατέρα ἔχει· καὶ ὁ εἰς τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσας εἰς τὸν πατέρα ἐβλασφήμησε. καθικε- 21
τεύω τὴν ὑμετέραν ἱερὰν γερουσίαν, βοηθήσατέ μοι διὰ τῶν ὑπὲρ ἐμοῦ πρὸς τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ἱκεσιῶν ὑμῶν ἀκολουθοῦντι μάλιστα τοῖς δι᾽ ὑμῶν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκτεθεῖσι καὶ ὁρι-

11 Dan. 5, 6 (Th.) — **15 f** vgl. S. 17, 27 — **26** vgl. I Joh. 2, 23

A¹HR V¹P³ M²P¹P²

3 *σοι* > M²P² | [*γε*] A¹ **4** *ἡ*² > M²P¹P² **6** *ἁπλοῦν* HM²P¹P² **9** mit *ξβ′* hört die Zählung auf in M² **13** *σου* > H **16** *ἅπερ*] ἃ A¹R | *ταῖς*] *τοῖς* H **18** *ἐκείνων ῥημάτων* ∾ A¹R **18 f** *ἀπέφηκα* (aber a. Rand *ἀπέφηνα*) M² **19** *τῇ ἀσεβεῖ αὐτοῦ συμμορίᾳ* A¹R **21** *ὁ υἱὸς* — **22** *οὐσίας*] *καὶ οὐχ* R **24** *πάντοτε* + *τὸν* H | *αὐτοῦ ἀσεβεῖς* ∾ P² **24 f** *τὰ αὐτὰ* A¹M²P¹P² **26** *καὶ κατὰ*] *κατά τε* R **29** *ἱερὰν* > M²P¹P² | *βοηθήσατέ μοι* > R **31 f** *διοριζομένοις* A¹R

ζομένοις. καὶ ὁμολογῶ ταῦτα ἀληθῆ εἶναι καὶ βέβαια. τοῦτο γὰρ 22
πιστεύω εἶναι ὅπερ ὁ ἱεροφάντης εἶπε Παῦλος »τὸ μυστήριον τὸ
ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ὃ
νῦν ἀπεκαλύφθη, καθὼς εἴρηται τοῖς ἁγίοις αὐτοῦ ἀποστό-
λοις καὶ προφήταις« καὶ ὑμῖν, ἐν πνεύματι ἀεὶ ὄντα καὶ συν-
υπάρχοντα καὶ συνδιαμένοντα τῷ θεῷ καὶ πατρὶ τὸν υἱὸν αὐτοῦ καὶ
τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον.

Προσθέντες οἱ ἅγιοι πατέρες εἶπον πρὸς τὸν φιλόσοφον ξγ′
περὶ πηγῆς καὶ ποταμοῦ καὶ ὕδατος διὰ τοῦ ἐπισκόπου Λεον-
τίου· κἀκεῖνο δὲ νοητέον ὦ φίλε λοιπὸν τῆς ἀληθείας. φιλόσοφε. 23 1
πηγὴν νοήσωμεν γεννῶσαν ποταμὸν ὕδατος· πᾶς γὰρ ποταμός, ὡς
οἶσθα, πηγὴν ἔχει γεννήτορα, εἶτα προέρχεται μὲν ὁ ποταμὸς ἐκ τῆς
πηγῆς τοῦ ὕδατος, ἀλλ' οὐδεὶς καλεῖ τὸν ποταμὸν πηγὴν ἢ τὴν
πηγὴν ποταμόν, ἀλλ' ἡ πηγὴ πηγὴ καλεῖται καὶ ὁ ποταμὸς ποταμὸς
καὶ ἀμφότερα ἓν ὕδωρ. ἐπὰν δέ τις ἐθέλοι ἀρύσασθαι ἐκ τοῦ πο- 2
ταμοῦ ἢ τῆς πηγῆς ὕδωρ, μεταβάλλει τὴν προσηγορίαν. οὐκ ἐρεῖ
γὰρ »ἄπελθε, πορευθεὶς ἄντλησον καὶ φέρε μοι τὴν πηγὴν ἢ τὸν
ποταμὸν« ἀλλ' ὕδωρ. καὶ μία μὲν ἡ φύσις, τρία δὲ πρόσωπα λεκτέα
πηγὴ ποταμὸς ὕδωρ. ἀλλὰ καὶ ἡ θεία γραφὴ ταῦτα φράζουσα 3
δείκνυται — οὐ γὰρ ἀλλότρια ταύτης ἡμεῖς σοι φθεγγόμεθα, γνήσιον
λοιπὸν τέκνον τῆς χάριτος, εἰ καὶ ὡς ἐν ὑποδείγμασι καὶ τύποις
καὶ εἰκόσι τῆς ἀληθείας τὸν λόγον εἰσηγησάμεθα — λέγει οὖν περὶ τοῦ 4
υἱοῦ ἡ θεία γραφή· »κλινεῖ, φησίν, ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρή-
νης« ἐκπορευόμενος δηλονότι ἐκ τῆς ἀληθοῦς πηγῆς τῆς ζωῆς τῆς
τοῦ πατρὸς θεότητος, καθά φησιν αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις
βοῶν »ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω«, κἀκεῖνο δὲ ὅπερ
ἔφη λευκότατα »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«, καὶ τὸ »ἐγὼ ἐν
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί« καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὅτι 5
ἐξ αὐτοῦ λαμβάνομεν ἅπαντες οἱ πιστοί, τῆς αὐτῆς ὂν οὐσίας ἧς ὁ

2 Kol. 1, 26 — 23 Jes. 66, 12 — 26 Joh. 8, 42 — 27 Joh. 10, 30 — 27f Joh. 14, 10

A¹HR V¹P³ M²P¹P²

2 *πιστεύων* P³ | *εἶπε*] *ἔφη* R 3 *τῶν*² > V¹ 5 *ἐν* + *τῷ* HM²P¹P² | *ὄντα*] *ὂν* M² 9 *καὶ*¹ > H | *τοῦ* + *αὐτοῦ* V¹ 9f *λεοντίου ἐπισκόπου* ~ V¹ 10 *λοιπὸν ὦ φίλε* ~ R 12 *γεννήτειραν* R *γεννητρ* P³ 12f *ἐκ τῆς πηγῆς* > V¹P³ 15 *ἐπὰν*] *ἐὰν* R | *ἀρρύσασθαι* RM²P¹ 20 *σοι* > M²P¹P² 21 *τῆς χάριτος* > V¹ 23 *υἱοῦ* + *τοῦ θεοῦ* M²P¹P² | *φησίν* > R 24 *τῆς*² > R 26 *βοῶν* A¹R *βοᾶ* V¹P³ > HM²P¹P² 29 *ἅπαντες* > A¹R

πατὴρ καὶ ὁ υἱός. ἐκπορευόμενον μὲν ἐκ τοῦ πατρὸς ἴδιον δὲ ὂν τοῦ
υἱοῦ, καθάπερ ἀνωτέρω ἀπεδείξαμεν. ὅτι δὲ ἐξ αὐτοῦ ἡμῖν ἀναβλύζον
ἐστί, σαφέστατα ἐν εὐαγγελίοις ἐδίδαξεν αὐτὸς ὁ κύριος εἰπών· »ἐάν
τις διψᾷ, ἐρχέσθω πρὸς μὲ καὶ πινέτω· ὁ πιστεύων εἰς ἐμέ,
καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύ-
σουσιν ὕδατος ζῶντος«, οἷς ὁ εὐαγγελιστὴς θεόθεν ἐμπνευσθεὶς
τὸ ῥηθὲν ἑρμηνεύων ἐπιφέρει λέγων· »τοῦτο δὲ ἔλεγε περὶ τοῦ
πνεύματος οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐ-
τόν«. καὶ ὁ προφήτης δὲ Δαυὶδ ὅρα τί περὶ ταύτης τῆς πηγῆς 6
τῆς ὄντως ζωῆς, τῆς ἁγίας τριάδος βοᾷ ὅτι »παρὰ σοὶ πηγὴ ζωῆς,
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς«. πηγὴν ζωῆς τὸν θεὸν καὶ πατέρα
καλῶν πρὸς τὸν υἱὸν λέγων, ἐπείπερ ὁ πατὴρ ἐν τῷ υἱῷ καὶ ὁ υἱὸς
ἐν τῷ πατρί· φῶς δὲ τὸν υἱὸν προσαγορεύει, ἐν ᾧ φωτὶ λέγει ὄψεσθαι
φῶς τὸ πνεῦμα τὸ ἅγιον. »ἐν γὰρ τῷ φωτί σου, φησίν, ὀψόμεθα
φῶς«. πηγὴ γὰρ ὄντως τῆς ζωῆς καὶ φωτὸς ὁ πατήρ, φῶς καὶ ὁ 7
υἱὸς ἐκ φωτὸς τοῦ πατρός, φῶς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐξ αὐτοῦ
τοῦ φωτός. ἐπείπερ, ὡς πολλάκις ἡμῖν λεκτέον, μία θεότης τοῦ 8
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καθὰ αὐτὸς βοᾷ διὰ
τῶν προφητικῶν λόγων »ἐγώ εἰμι θεός, οὐκ ἔστιν ἄλλος· καὶ
ἐγὼ θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα καὶ εἰς τὸν αἰῶνα
ἐγώ εἰμι« καὶ πάλιν »ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι καὶ εἰς τὸν
αἰῶνα ἐγώ εἰμι« καὶ τὰ ἑξῆς καὶ κατὰ τὰ προαποδειχθέντα. ἀναγ- 9
καῖον γὰρ οἶμαι ἐπαναλαβεῖν τὰς ῥήσεις, εἰ καὶ μὴ πάσας διὰ τὸ
πλῆθος, ἀλλ' οὖν τὰς σαφεστέρας πρὸς τὸ βεβαιοτέραν τὴν σύστασιν
ἔχειν τὰ εἰρημένα. τὰ οὖν ἐκ στόματος Ἱερεμίου τοῦ προφήτου 10
παραθήσομεν· »ὁ κατασκευάσας, φησί, τὴν γῆν εἰς τὸν αἰῶνα

2 vgl. S. 88, 31 — **3** Joh. 7, 37f — **7** Joh. 7, 39 — **10** Psal. 35, 10 — **12** vgl. Joh. 14, 10 — **14** Psal. 35, 10 — **19** Jes. 41, 4; 45, 21 — **21** Mal. 3, 6 — **26** Baruch 3, 32ff vgl. S. 69, 13ff

A¹HR V¹P³ M²P¹P²

1 ὁ > P³ **2** ἡμῖν > P² | ἀναβλύζον ἡμῖν ∼ V¹ **3** αὐτὸς > H **7** τὸ ῥηθὲν] τἀληθὲς A¹ τἀληθῆ R | ἔλεγε] ἔλεγον R εἶπε V¹ **9** δὲ > H | ταύτης + τῆς γραφῆς ἢ ὡς (καί?) περὶ P² **10** σοὶ + ἡ A¹R **12** λέγει R **13** ὑπαγορεύει V¹P³ | ᾧ] τω H **14** φῶς > R **14f** ἐν τῷ φωτί σου γὰρ ὀψόμεθα φησὶ φῶς ∼ R | ὀψόμεθα φησὶ φῶς ∼ A¹ **15** πηγὴν H **18** καθὼς R **19** προφητικῶν + ἀ////οῦ R | λέγων V¹ | θεὸς + καὶ M²P¹P² **21** καὶ πάλιν ἐγώ εἰμι auf d. Rand nachgetragen V¹ | καὶ¹ — **22** εἰμὶ > M²P¹P² **22** ἀποδειχθέντα V¹ ἀπροαποδειχθέντα P³ **26** παραθήσομαι P²

χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτὸ καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ· οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν καὶ ηὐφράνθησαν· ἐκάλεσεν αὐτοὺς καὶ εἶπαν· πάρεσμεν· ἔλαμψαν μετ᾽ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν« καὶ τὰ ἑξῆς. ἀναγκαῖον οὖν, θεοφιλέστατε φιλόσοφε, ἐπιστῆσαι ὧδε τὸν 11
νοῦν καὶ ἀναπτύξαι τῆς γραφῆς τὴν διάνοιαν. ἔδειξε γάρ, καθὰ καὶ αὐτὸς συνωμολόγησας, ὅτι περὶ τοῦ υἱοῦ ταῦτα προείρηται. »μετὰ ταῦτα γάρ, φησίν, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη«. εἰ οὖν κατὰ τὴν ἀσεβῆ μοχθηρίαν Ἀρείου ἄλλη 12
τις οὐσία κτιστή ἐστι τοῦ υἱοῦ καὶ μεταγενέστερος τοῦ πατρὸς θεός, λέγει δὲ περὶ αὐτοῦ ἡ γραφή· »οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν«, οὐ θεὸς ὁ πατὴρ κατὰ τὴν Ἀρείου ἀσέβειαν, ἐπείπερ λέγει περὶ τοῦ υἱοῦ »οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν«. καὶ ἐλέγχονται οἱ ἀσεβεῖς Ἀρειομανῖται σὺν τῷ τῆς βλασφημίας αὐτῶν αὐθέντῃ πρὸ τῆς περὶ τοῦ υἱοῦ ἀρνήσεως αὐτὸν τὸν πατέρα ἐκβαλόντες τῆς θεότητος, καὶ ἄθεοι παντελῶς εὑρίσκονται οἱ τῆς ἀληθείας πολέμιοι. ὁ γὰρ τὸν υἱὸν μὴ ἔχων, καθά 13
φησιν ἐν καθολικαῖς, »οὐδὲ τὸν πατέρα ἔχει«, ἡ δὲ καθολικὴ πίστις μίαν θεότητα οἶδε καὶ ταύτην προσβεύει τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, παρ᾽ ἣν οὐ λογισθήσεται ἑτέρα. τὸ δὲ μυστήριον τοῦτο τῆς ἁγίας καὶ προσκυνητῆς καὶ ὁμοουσίου τριάδος ἀπερινόητον καὶ ἀνέκφραστον καὶ πάντῃ ἀκατάληπτον ὑπάρχει πίστει μόνῃ νοεῖσθαι δυνάμενον.

Καὶ ὁ φιλόσοφος· θεῖα ὡς ἀληθῶς καὶ φωτὸς ἔμπλεα τὰ παρὰ ξδ′ **24** 1
τοῦ ἁγίου πνεύματος δι᾽ ὑμῶν ἐκφωνηθέντα. δέομαι δὲ ὑμῶν, ἐρασμίων μοι ὄντων τῶν ἱερῶν τῆς διδασκαλίας ὑμῶν λόγων, ὑπόσχετέ μοι τὰς εὐαγεῖς ὑμῶν ἀκοὰς καὶ πρὸς ἃ ἐπερωτῶ διδάξατε, ἵνα πληρεστάτην λήψεσθε παρὰ τοῦ θεοῦ τὴν ὑπὲρ τῆς ἐμῆς σωτηρίας ἀμοιβήν. ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ ἐπισκόπου

9 Baruch 3, 38 — **13** Baruch 3, 36 — **20** I Joh. 2, 23

A¹HR V¹P³ M²P¹P²

2 *αὐτὸ*] *τὸ φῶς* R **4** *εἶπον* R **7** *ἀναγκαῖον* H *ἀναγκαίως* d. übr. HSS | *οὖν* + *ὦ* V¹P³ | *φιλόσοφε* > H | *ἐπίστησον* H **8** *καθὼς* R **9** *ὅτι*] *ἔτι* R **14** *οὐ* — **16** *καὶ* > A¹R, *καὶ* scheint durch Rasur getilgt A¹ **18** *ἐκβάλλοντες* HR **22** *παρ᾽*] *καθ᾽* R **26** Mit *ξδ′* hört die Zählung in P² und damit überhaupt i. d. HSS auf **29** *εὐαγεῖς ὑμῶν* > R **30** *λήψησθε* HM²P¹ **31** *ἁγιωτάτων* A¹M²P¹V¹

Λεοντίου· εἰπὲ ὃ βούλει, ἐπιθυμητὸν γὰρ ἡμῖν πληροφορῆσαί σε, ἐν 2
πᾶσιν εὐμαρῶς δυναμένου σου νῦν μάλιστα δέχεσθαι τὰς ἀποδείξεις
τῶν ῥήσεων ἐλλαμφθέντος σου ὑπὸ τοῦ ἁγίου πνεύματος. **εὐχαριστία**
τοῦ φιλοσόφου καὶ ἐπερώτησις περὶ τῆς τοῦ κυρίου ἐναν θρω-
πήσεως· *χάρις ὑμῶν τῇ ἱερᾷ κεφαλῇ. φατὲ δέ μοι, ὦ ἱερώτατοι,* 3
πῶς νοητέον τὸ τὸν θεὸν λόγον τὸν τοῦ θεοῦ υἱὸν ἐπὶ τῆς γῆς ὤφθαι
καὶ τοῖς ἀνθρώποις συνανεστράφθαι ἀθέατον ὄντα πάσῃ κτιστῇ φύσει
ὁρωμένῃ τε καὶ νοουμένῃ, καὶ τίς ἡ αἰτία, δι' ἣν ταῦτα ἐπραγμα-
τεύσατο, διδάξατε, παρακαλῶ. **ἀπόκρισις τῶν ἁγίων πατέρων πρὸς**
τὸν φιλόσοφον διὰ τοῦ ἐπισκόπου Λεοντίου· *ἡ μὲν αἰτία τῆς* 4
αὐτοῦ παρουσίας οἰκονομήθη ὑπ' αὐτοῦ διὰ τὴν ἐν τῷ παραδείσῳ
τῶν πρωτοκτίστων ἀνθρώπων τοῦ τε Ἀδὰμ καὶ τῆς Εὔας γεγεννημέ-
νην ἀπόπτωσιν, ἥτις ἅπαν τὸ αὐτῶν ἐπενέμετο γένος. ἐπεὶ οὖν 5
παραβάντες τὴν ἐντολὴν τοῦ θείου χαρίσματος ἐγυμνώθησαν, τοῦτο
ἀποδοῦναι ἠθέλησεν ὁ δημιουργὸς τῷ τῶν ἀνθρώπων γένει. καὶ
νοητέον ἐνταῦθα, ὅτι ὥσπερ εἶπεν ὁ θεὸς »ποιήσωμεν ἄνθρωπον
κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ
θεὸς τὸν ἄνθρωπον« κατὰ τὰς προρρηθείσας ἀποδείξεις. ὁ αὐτὸς
πάλιν εἶπε, σώσωμεν τὸν ἀπολωλότα ἄνθρωπον, ὃν κατ' εἰκόνα
ἡμετέραν καὶ καθ' ὁμοίωσιν ἐποιήσαμεν. καὶ ὥσπερ ὁ θεὸς καὶ 6
πατὴρ εἶπε τὸ ποιήσωμεν καὶ ὁ υἱὸς ἐδημιούργησε, θεὸς ὢν ἐκ
θεοῦ, ὁ αὐτὸς πάλιν βουλῇ πατρικῇ ἀνασῶσαι ἐν ἑαυτῷ ἠβουλήθη
τὸν ἄνθρωπον. **ἐπερώτησις τοῦ φιλοσόφου περὶ τοῦ αὐτοῦ·** *καὶ* 7
πῶς ἐπὶ τῆς γῆς ὤφθη καὶ συνανεστράφη ὡς ἄνθρωπος τοῖς ἀν-
θρώποις θεὸς ὢν ἀναλλοίωτος; **ἀπόκρισις παρὰ τῶν ἁγίων πατέ-**
ρων διὰ Μακαρίου ἐπισκόπου Ἱεροσολύμων· *κατὰ τὴν φωνὴν* 8
τοῦ θεσπεσίου Παύλου »μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον,
θεὸς ἐφανερώθη ἐν σαρκί«, τοῦτ' ἔστιν ὁ τοῦ θεοῦ υἱὸς τότε
αὐτὸς ὤφθη καὶ ἀγγέλοις· οὐδὲ γὰρ ἀγγέλοις ἢ ἀρχαγγέλοις ἢ τισι
τῶν ἐπουρανίων δυνάμεων θεατὸς ὁ μονογενής, ἐπείπερ θεὸν οὐδεὶς

6f. 24 vgl. Baruch 3, 38 — **16** Gen. 1, 26f — **27** I Tim. 3, 16 — **30** vgl. Joh. 1, 18

A¹HR V¹P³ M²P¹P²

1 ὃ] ὦ̃ R **2** *εὐμαρῶς* + *ὡς* P² | *σου* > R **3** *λαμφθέντος* P¹ *ἐλαμφθέντος* P² **4** *κυρίου* + *ἡμῶν* R **5** *δὲ*] *δὴ* P² **6** *τῆς* > R **9f** *πρὸς τὸν φιλόσοφον* > R **10** *τοῦ* + *αὐτοῦ* M²P¹ **11** *τῆς* M²P¹P² **14** *ἐγυμνώθησαν*] *ἐστερήθησαν* V¹P³ *ἐγυμνώθη* R **22** *πατρικῇ βουλῇ* ∼ H | *αὐτῷ* P² **23** *ἀπερώτησις* M² **24** *τῆς* > M²P¹P² | *καὶ* + *τοῖς ἀνθρώποις* ∼ P² **25** *παρὰ* > M²P¹P² **28** *θεὸς* Holl] *θς* HSS (*θ̄ς* P³ Balf.) | *ὁ υἱὸς τοῦ θεοῦ* ∼ H **29** *ὤφθη* ⟨*ἀνθρώποις*⟩ Holl | *ἢ ἀρχαγγέλοις* > P² **30** *οὐδεὶς θεὸν* ∼ H

ἑώρακε πώποτε. οὗπερ τὴν ἐξ οὐρανῶν καταφοίτησιν ἀκούων 9
μὴ τοπικὴν μετάστασιν τῆς ἀχωρήτου αὐτοῦ ὑποπτεύσῃς θεότητος,
οἰκονομίαν δὲ νόει τὸ ὅλον τοῦτο τὸ μέγα ὡς ἀληθῶς τῆς εὐσεβείας
μυστήριον, ἐν ᾧ ἀνεκαινίσθημεν. ἀνακαίνισις γὰρ γέγονε καινότη- 10
τος ἐπανάληψις· διὰ δὴ τοῦτο ἀποδιδοὺς ἡμῖν τὴν πρὸς ἑαυτὸν
ὁμοίωσιν ὁ αὐτὸς τοῦ θεοῦ λόγος εἰς ὁμοίωσιν ἡμῶν κατῆλθεν. ἀδύ- 11
νατον δὲ ἦν θεὸν ὁμοιωθῆναι ἡμῖν μὴ σαρκωθέντα — οὐ γὰρ ἀσώ-
ματον εἶδος αὐτῷ ἀσωμάτου οὐσίας προσεγίνετο, ὅπερ ἦν αὐτός,
ἀλλὰ τὸ σωματικόν — σωματικὴ δὲ οὐσία ἄνευ προσλήψεως οὐκ
ἐγίνετο· διὰ τοῦτο σῶμα ἀληθῶς προσέλαβεν, ἵνα οἱ τῆς ἐξ ἀρχῆς
ἀδελφότητος ἐκπεσόντες διὰ τὴν τοῦ ἀσωμάτου εἴδους ἀλλαγήν, τοῦτ᾽
ἔστι τῆς τοῦ πνεύματος χάριτος, ἧς διὰ τῶν πρώτων ἀνθρώπων
τοῦ τε Ἀδὰμ καὶ τῆς Εὕας ἀπωλέσαμεν, εἰς ἀδελφότητα εἰσαχθῶμεν
διὰ τῆς σωματικῆς προσλήψεως καὶ πάλιν τὸ ἀσώματον εἶδος τὸ
θεῖον ἀπολάβωμεν. λαμβάνει δὲ σάρκα ἐκ γυναικός· οὕτως γὰρ 12
καὶ ὁμογενὴς ἡμῖν καθίσταται, ἵνα καὶ ὡς ὁμογενέσιν ἡμῖν μεταδῷ
τῆς δόξης τῆς ἑαυτοῦ, ἵνα καὶ τὴν γυναῖκα διὰ τῆς γεννήσεως ἀνασώσῃ·
»ἀνασωθήσεται γάρ, φησίν, ἡ γυνὴ διὰ τῆς τεκνογονίας«. σὰρξ 13
δὲ προσείληπτο τὸ κατὰ φύσιν ἔχουσα ζωτικόν· οὐδεμία γὰρ σὰρξ ἄνευ
τοῦ ζωοποιοῦ, ὃ καὶ ψυχὴν ἰδίως ἡ γραφὴ καλεῖ. **ὁ φιλόσοφος**· τίς 14
οὐκ ἂν ἐκπλαγῇ ἐπὶ τοῖς μεγαλείοις τοῦ θεοῦ τούτοις, ὡς ἔφατε;
πλὴν πῶς λαμβάνει σάρκα ἐκ γυναικός, καθὼς ἀρτίως εἰρήκατε;
ἀπόκρισις τῶν ἁγίων πατέρων διὰ τοῦ αὐτοῦ Μακαρίου ἐπι-
σκόπου Ἱεροσολύμων· ἤδη εἰρήκαμέν σοι, ὦ βέλτιστε, μηδαμῶς 15
ἐπὶ τῶν τοῦ θεοῦ μυστηρίων λέγειν τὸ ὅπως· ἀπόρρητα γάρ εἰσι
καὶ ἀνεπιλόγιστα· ὡς δὲ ἐκ τῶν ἱερῶν λόγων ἐδιδάχθημεν, ἐροῦμεν
ὅσον ὁ λόγος παραστῆσαι δυνήσεται. τὸ γὰρ παντελῶς καταληπτι- 16
κὸν τοῦ μυστηρίου ἐκείνου, τῆς τοῦ κυρίου ἐνσάρκου οἰκονομίας, πῶς
γέγονεν, οἶδεν ἀνθρώπων οὐδὲ ἀγγέλων οὐδείς, οὐδὲ αὐτὸς Γαβριὴλ
ὁ διακονησάμενος τῷ μυστηρίῳ ἐκείνῳ, οὐδὲ ἡ πάναγνος καὶ καθαρὰ
καὶ ἁγία παρθένος Μαρία παραστῆσαι δυνήσεται τὴν ὅλην τῆς αὐτῆς

3f I Tim. 3, 16 — **18** I Tim. 2, 15

A¹HR V¹P³ M²P¹P²

9 ἄνευ + τῆς R | προσλήψεως + τε A¹ **11** ἀλλαγή[ν] A¹ **12** τὸν πρῶτον ἄνθρωπον P² **15** σάρκα] σῶμα V¹ **16** ὁ μονογενὴς P³, ὁμογενὴς corr. aus ὁμονογενὴς HR **17** τῆς ἑαυτοῦ δόξης A¹R | ἀνασώσῃ H > d. übr. HSS **20** ζωοποιοῦ A¹HR ζωτικοῦ d. übr. HSS **21** ἐκπλαγείη M²P¹P² | φατὲ R **30** τὸ μυστήριον ἐκεῖνο A¹R

τοῦ θεοῦ λόγου σαρκώσεως κατάληψιν — αὐτὸς γὰρ μόνος ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς τὸ ἀκριβὲς οἶδε τῆς ἑαυτοῦ δι' ἡμᾶς ἐνανθρωπήσεως — εἰ γὰρ καὶ »παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται 17
καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου« καθά φησιν ὁ Λουκᾶς, περὶ
5 τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας ὅτι »ἐκ σπέρματος Δαυὶδ καὶ Ἀβραὰμ
τὸ κατὰ σάρκα« καὶ τὸ »ἐξ ἧς ἐγεννήθη Ἰησοῦς«, τοῦτ' ἔστιν ἐκ
τῆς παρθένου, »ὁ λεγόμενος Χριστός«, καὶ ὅτι »ὧν οἱ πατέρες
καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα«, καὶ ὅτι »οὐκ ἀγγέλων,
ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπελάβετο«, καὶ ὅτι »κατὰ πάντα
10 ὡμοιώθη ἡμῖν, πλὴν τῆς ἁμαρτίας«. ταῦτα ἴσμεν· ὁ δὲ 18
τρόπος, πῶς ταῦτα γεγένηται, πάσης λογικῆς φύσεως ὑπερβαίνει
διάνοιαν. λέγει γὰρ καὶ περὶ τούτου Ἱερεμίας ὁ προφήτης »καὶ
ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν«;

Θαυμάζοντος δὲ τοῦ φιλοσόφου καὶ παντὸς τοῦ συναθροισθέντος
15 πλήθους εἰς τὴν ἀκρόασιν προσθέντες οἱ ἅγιοι πατέρες διὰ Μακα-
ρίου ἐπισκόπου Ἱεροσολύμων εἶπον· ἤδη διὰ πλείστων ὅσων 19
ἀπεδείξαμεν, ὅτι θεὸς ὢν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ γέγονεν
ἄνθρωπος διὰ φιλανθρωπίαν, σαρκωθεὶς καὶ γεννηθεὶς ἐκ τῆς παρ-
θένου Μαρίας ἀπορρήτῳ γεννήσει. ἐπειδὴ γὰρ ἠβουλήθη, ὡς προ- 20
20 απέδειξεν ὁ λόγος, ἀνακαινίσαι τὰ διὰ τὴν ἀπόπτωσιν τῶν πρωτο-
πλάστων λυθέντα, γέγονεν ἐν τοῖς ἡμετέροις, ἵνα ἡμᾶς ποιήσῃ ἐν
τοῖς ἑαυτοῦ, συγκαταβὰς ὡς ἰατρὸς ἄριστος τῇ ἀσθενείᾳ ἡμῶν. πάλιν 21
ἐροῦμεν τὸ συγκαταβῆναι καὶ τὸ κατελθεῖν καὶ τὸ ἀπεστάλθαι κατὰ
τὸν τῆς ἐνανθρωπήσεως αὐτοῦ τρόπον διαληπτέον, ὡς προαπεδείξα-
25 μεν· τῇ γὰρ θεότητι αὐτοῦ τὰ πάντα σὺν τῷ πατρὶ πληροῖ ἀεὶ κατὰ
τὰς προαποδοθείσας ἐννοίας. ἄκουε τοίνυν· γεννώμεθα ἐκ γυναικός· 22

3 Luk. 1, 2 — **5** Röm. 1, 3 — **6** Matth. 1, 16 — **7** Röm. 9, 5 — **8** Hebr. 2, 16 — **9** Hebr. 4, 15 — **12** Jerem. 17, 9

A¹HR V¹P³ M²P¹P²

2 *δι' ἡμᾶς ἑαυτοῦ* ∼ R **4** *γενομένου* P³ | *ὁ* > R **6** Nach *σάρκα* etwas getilgt R | *τὸ ἐξ ἧς* V¹P³ *ὅτι ἐξ ἧς* HM²P¹P² *καὶ τὰ ἐξῆς* A¹R **11** *γένηται* von 2. Hd. corr. in *γεγένηται* M² | *πάσης* — **12** *διάνοιαν* > A¹HR mit dem Unterschied, daß A¹ am Rand u. schwerlich von 1. Hd. einfügt *ἀκατάληπτος*, H im Text einfügt *ἀγνοεῖται*, R auch noch die vorhergehenden Worte *ταῦτα γεγένηται* fortläßt und statt dessen *ἀκατάληπτος* im Text hat **14f** *πλήθους τοῦ συναθροισθέντος* ∼ M²P¹P² **15f** *διὰ Μακαρίου ἐπισκόπου* scheint schon in alter Zeit von 2. Hd. wiederholt zu sein (unleserlich) A¹ **16** [ἦ]δ[η] A¹ **17** *ὢν*] *ἦν* V¹P³ | *θεοῦ* + *καὶ* V¹ **20** *ἀπόστασιν* A¹H **23** *συγκαταβὰν* A¹HRV¹P³ *συγκαταβῆναι* M²P¹P² | *ἀπεστάλθαι*] *ἀπελθεῖν* R

ἦλθε διὰ φιλανθρωπίαν εἰς τοῦτο, ἀλλ᾽ ἡμεῖς μὲν ἐξ ἡδονῆς ὕπνου καὶ σπέρματος ἀνδρός, αὐτὸς δὲ μόνος ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. γαλακτοτροφούμεθα· ἦλθε καὶ εἰς τοῦτο σαρκὶ ὁ τῇ θεότητι αὐτοῦ διδοὺς τροφὴν πάσῃ σαρκί. γινόμεθα εἰς προκοπὴν καὶ αὔξησιν ἡλικίας· οὐκ ἀπηξίωσε γενέσθαι καὶ αὐτὸς τοῦτο σωματικῶς, καθὼς γέγραπται ὅτι »Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις«· καὶ ἕως τριακοστοετοῦς χρόνου διανύσας, ἵνα πᾶσαν ἡλικίαν εὐλογήσῃ, τότε ἐπὶ τὸ βάπτισμα ἔρχεται, κηρύσσοντος Ἰωάννου υἱοῦ Ζαχαρίου τῷ λαῷ βάπτισμα μετανοίας, οὐκ ἀφέσεως ἁμαρτιῶν οὔτε υἱοθεσίας δῶρον διδόντος· οὐ γὰρ ἦν Ἰωάννου ταῦτα δοῦναι [ἀλλ᾽] οὔτε ἀγγέλου, ἀλλ᾽ αὐτοῦ τοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος θεοῦ λόγου. καὶ ἀνέχεται τὸ ὑπὲρ ἡμῶν βάπτισμα, καὶ θεὸς ὢν ἀναμάρτητος ἐβαπτίσθη σωματικῶς ὡς ἄνθρωπος, οὐκ αὐτὸς δεόμενος βαπτίσματος, ἀλλ᾽ ἵνα τὸ ἡμέτερον βάπτισμα δοξάσῃ, ἵνα πιστεύσωμεν, ὅτι ὥσπερ ἐπ᾽ αὐτὸν κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, οὕτως καὶ ἐφ᾽ ἡμᾶς τοὺς εἰς αὐτὸν βαπτιζομένους. εἶτα συναναστραφεὶς τοῖς ἀνθρώποις τάς τε τῶν θείων αὐτοῦ ἐντολῶν παραδοὺς ἐκδόσεις τάς τε τῶν σημείων ἐργασάμενος θαυματουργίας, ἐπὶ τριετῆ χρόνον καὶ τετάρτου ἀρξάμενος οὕτως ἐπὶ τὸ ὑπὲρ ἡμῶν ἑκούσιον αὐτοῦ σωματικὸν ἔρχεται πάθος· ἡμῖν γὰρ κεχρεώστητο τιμωρία σταυροῦ· ἀλλ᾽ εἰ πάντες ἐσταυρώθημεν, οὔτε ἑαυτοὺς ἐκ τοῦ θανάτου ἁρπάσαι ἰσχύσαμεν. »ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας«. πολλοὶ ἅγιοι, πολλοὶ προφῆται, πολλοὶ δίκαιοι· καὶ οὐδεὶς αὐτῶν τῆς τοῦ θανάτου ἐξουσίας ἑαυτὸν ἠδυνήθη λυτρώσασθαι, ἀλλὰ ἦλθεν αὐτὸς ὁ τῶν πάντων σωτὴρ καὶ τὰς ἡμῖν χρεωστουμένας τιμωρίας εἰς τὴν ἐξ ἡμῶν ἀνθ᾽ ἡμῶν ὑπὲρ ἡμῶν ἀναμάρτητον αὐτοῦ ὑπεδέξατο σάρκα. κατεφερόμεθα μετὰ τὸν θάνατον εἰς τὸν Ἅιδην· ἀνεδέξατο καὶ τοῦτο καὶ

1 f vgl. Weish. Sal. 7, 2 — 6 Luk. 2, 52 — 9 vgl. Mark. 1, 4 — 17 vgl. Baruch 3, 38 — 23 Röm. 5, 14

A¹HR V¹P³ M²P¹P²

4 *πάσῃ σαρκὶ τροφήν* ∼ R 5 *καὶ αὐτὸς γενέσθαι* ∼ HM²P¹P² 6 *τοῦτο* > V¹ | *καθὰ* R 8 *εὐλογήσῃ ἡλικίαν* ∼ R 9 *ἔρχεται*] *ἦλθε* R 11 corr. Hei. 12 *ἐνανθρωπήσαντος* + *τοῦ* P² 17 *συνανεστραφείς* M² 20 *τέταρτον* HM²P¹P² *τεταρ*[*τ*] R | *ὑπὲρ ἡμῶν* > P² 22 f *ἰσχύσαμεν ἁρπάσαι* ∼ H *ἰσχύαμεν* A *ἰσχύομεν* R 23 *μέχρι*] *ἕως* A¹ 25 *προλλῆται* V¹ | *αὐτῶν* nachträglich, aber wohl von 1. Hd. eingefügt A¹ 26 *ἑαυτὸν* bis *λυτρώσασθαι* am Seitenschluß unleserlich, von späterer Hd. auf der folgenden Seite am oberen Rand ... *τρωσαι . α* A¹ 27 *τὰς* + *ἐξ ἁμαρτιῶν* R 28 f *καταφερόμεθα* R

κατῆλθεν ἑκουσίως εἰς αὐτόν· οὐ κατηνέχθη καθάπερ ἡμεῖς ἀλλὰ κατῆλθεν, οὐ γὰρ ἦν ὑποκείμενος τῷ θανάτῳ, ἀλλ' ἐξουσιαστὴς τοῦ θανάτου καὶ μόνος κατελθὼν μετὰ πλήθους ἀνελήλυθεν. αὐτὸς 28
γὰρ ἦν ὁ νοερὸς κόκκος τοῦ σίτου ὁ ὑπὲρ ἡμῶν πεσὼν εἰς τὴν γῆν
καὶ ἀποθανὼν σαρκί, ὃς τῇ τῆς θεότητος αὐτοῦ δυνάμει ἀνέστησε
τὸν σωματικὸν αὐτοῦ ναὸν κατὰ τὰς γραφὰς καρποφορήσαντα τὴν
τοῦ παντὸς ἀνθρωπίνου γένους ἀνάστασιν, καὶ ἐμφανίσας τοῖς μαθηταῖς
μετὰ τὴν τριήμερον ταφὴν καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐπέδειξεν
αὐτοῖς τὰ ἐν τῷ σταυρῷ τοῦ σώματος αὐτοῦ πάθη, εἰπών· »ψηλα-
φήσατέ με, καὶ ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ θαυματουργῶν,
ὁ καὶ τὰ ὑπὲρ τοῦ ὑμετέρου γένους ἐν τῇ σαρκί μου καταδεξάμενος
πάθη«. εἶτα ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλιζόμενος αὐτοῖς δούς τε 29
αὐτοῖς σωτηρίων ἐντολῶν ὑποθήκας, ἀνελήλυθεν εἰς τοὺς οὐρανοὺς
βλεπόντων αὐτῶν, ἐν δεξιᾷ τε τοῦ πατρὸς κεκαθικέναι αὐτὸν οἱ
ἱεροὶ ἐδίδαξαν λόγοι. ὃν καὶ ἥξειν προσδοκῶμεν ἐπὶ συντελείᾳ τοῦ
αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς ἀϊδίως ὡς ἀεὶ συμβασιλεύοντα τῷ
πατρὶ εἰς τοὺς ἀπείρους αἰῶνας. αὕτη ἡ τῆς ἐκκλησίας ἀποστολικὴ 30
καὶ ἀμώμητος πίστις, ἥντινα ἄνωθεν παρ' αὐτοῦ τοῦ κυρίου διὰ
τῶν ἀποστόλων ἐκ προγόνων εἰς ἐκγόνους παραδοθεῖσαν ἡ ἐκκλησία
πρεσβεύει καὶ ἄχρι καὶ νῦν καὶ εἰς ἀεὶ ταύτην κρατεῖ, εἰπόντος τοῦ
κυρίου τοῖς μαθηταῖς· »πορευθέντες μαθητεύσατε πάντα τὰ
ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ
υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«.

Περὶ τῆς τῶν πάντων ὁμοφωνίας τῆς εἰς τὸ ὁμοούσιον.

Τούτων οὕτως ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἁγίων ἡμῶν **25** 1
πατέρων τῶν ἐν ἐκείνῃ τῇ ἁγίᾳ συνόδῳ συνειλεγμένων ἐκφωνηθέντων,
ἐμεγάλυνε τὸν θεὸν ἅπαν τὸ πλῆθος ἐκεῖνο τὸ εἰς τὴν ἀκρόασιν
ἐκείνην συνελθόν. ἐπηκροᾶτο δὲ καὶ αὐτὸς ὁ θεοφιλέστατος βασι- 2
λεὺς συμπαρὼν καὶ αὐτὸς τὰ πλεῖστα τῇ συνόδῳ καὶ ὑπεραγασθεὶς
ἐδόξαζε τὸν θεὸν τοιούτων ἐπακούσας θείων δογμάτων· χαίρων δῆτα

4 vgl. Joh. 12, 24 — **5** vgl. I Pe. 3, 18 — **5 ff** vgl. Joh. 2, 21 f — **9** Luk. 24, 39 — **12 ff** vgl. Act. 1, 3–11 — **21** Matth. 28, 19. 20

A¹HR V¹P³ M²P¹P²

6 *κατὰ τὰς γρὰς* V¹ **7** *ἀνθρωπίνου γένους*] *ἀνθρώπου* R *ἀνθρωπείου γένους* V¹P³ **8** *τὴν*² > M² **11** *ὑμετέρου* V¹P³M²P¹P² *ἡμετέρου* A¹HR **12 f** *δούς τε αὐτοῖς* > V¹ **16** *συμβασιλεύοντα*] *συμβουλεύοντα* P³ **19** *ἐγγόνους* A¹HR **20** *καὶ*² > M²P¹P² **24** *τῶν* > HM²P¹P² | *πάντων*] *πατέρων* R **25** *ἡμῶν* > H **26** *τῇ* > M² **30** *ἐδόξασε* V¹ | *θείων* > H

ἐπὶ τῇ τῶν ἡμετέρων ἐπισκόπων συμφωνίᾳ, ἠγαλλιᾶτο τῷ πνεύματι· ἔσπευδε γὰρ μηδένα μὴ μέγαν μὴ μικρὸν διαφονῆσαι ταύτης τῆς σωτηρίου ὁμολογίας. μετὰ γοῦν τὴν πολλὴν ταύτην καὶ χρονίαν 3
τῆς προσκυνητῆς σκέψεως ἐκπλήρωσιν ἔδοξε πᾶσιν ὁμοῦ τοῖς ἡμετέροις τὸ ὁμοούσιον δεῖν ὁρίσασθαι ἐπὶ τῆς ἐκκλησιαστικῆς πίστεως, ὃν τρόπον καὶ οἱ μετὰ τοὺς ἀποστόλους ἅγιοι ἡμῶν πατέρες ταύτην παρέδοσαν τὴν πίστιν. τοῦτ' ἔστι τῆς αὐτῆς οὐσίας τῆς τοῦ πατρὸς ὁμολογεῖν τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἥντινα πίστιν πάντες 4
οἱ ἐν τῇ Νικαέων συναθροισθέντες ἅγιοι ἐπίσκοποι ἐβεβαίωσαν, τό τε τῶν ἱερατικῶν καὶ ὁμολογητῶν ἁγίων ἀνδρῶν πλῆθος αὐτός τε ὁ πανεύφημος καὶ θεοφιλέστατος βασιλεὺς καὶ ἅπαν τὸ ἐκεῖσε τῶν πιστῶν συνεληλυθὸς πλῆθος χαίροντες ἀπεδέξαντο τὴν ὁμολογίαν 5
τῆς πίστεως, παρεκτὸς ἑπτακαίδεκα ἐπισκόπων τὸν ἀριθμὸν περὶ ὧν καὶ ἀνωτέρω εἰρήκαμεν, οἷς ὁ Ἄρειος ἐπιτέρπεσθαι δοκῶν σὺν αὐτοῖς ἑάλω, συμφώνοις αὐτοῦ οὖσι, λεγόντων αὐτῶν σὺν αὐτῷ ἔξωθεν τὸν υἱὸν δεδημιουργῆσθαι τῷ θεῷ ἐκ μὴ ὄντων τινῶν ὑποστάσεων καὶ οὐκ ἀπ' αὐτῆς τῆς τοῦ πατρὸς θεότητος γεννηθέντα.

Ὅπου ὑπὸ τοῦ κοινοῦ τῆς συνόδου ἐκκηρύττεται ὁ ἀσεβὴς Ἄρειος καὶ οἱ σὺν αὐτῷ.

Διὸ ἐκκηρύκτους αὐτοὺς καὶ αὖθις γενέσθαι σὺν Ἀρείῳ τῆς καθο- 26 1
λικῆς ἐκκλησίας παμψηφὶ πάντες οἱ ἅγιοι ἡμῶν πατέρες ὡρίσαντο, ἀναθεματίσαντες αὐτούς τε καὶ τὴν ἀσεβῆ αὐτῶν δόξαν καὶ τὰ ῥήματα καὶ τὰ νοήματα αὐτῶν τὰ βλάσφημα, οἷς ἐκέχρηντο κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ λέγοντες ἐξ οὐκ ὄντων αὐτὸν εἶναι καὶ ὅτι ἦν ποτε ὅτε οὐκ ἦν καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν αὐτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ, κτίσμα λέγοντες αὐτὸν εἶναι καὶ ποίημα. ἀνε- 2
θεμάτισεν ἅπαντα ταῦτα καὶ αὐτοὺς ἡ ἁγία σύνοδος οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης αὐτῶν καὶ ἀπονοίας καὶ τῶν βλασφήμων αὐτῶν ῥημάτων ἀνασχομένη. ἀλλὰ καὶ τὸ πιττάκιον δὲ αὐτῶν, 3
ὅπερ γέμον τῆς ἀσεβείας αὐτῶν ἐπιδοῦναι ἐτόλμησαν, παραχρῆμα διέρρηξαν. καὶ τὰ μὲν κατ' ἐκείνους τοιοῦτον εἴληφε παρὰ τῆς ἁγίας

3—17 vgl. Rufin X 5 p. 965 — 22ff vgl. Philostorg. I 9a S. 10 (Bidez) und oben S. 35, 24ff

A¹HR V¹P³ M²P¹P²

1 *συμφωνίᾳ* > P² 2 *γὰρ* > A¹R 4f *πᾶσι τοῖς ἡμετέροις ὁμοῦ* ∾ R 5 *δεῖν — πίστεως*] *ἐπὶ τῆς ἐκκλησίας δεῖν ὁρίσασθαι* R 7 *αὐτῆς*] *αὐτοῦ* H 8 *ἅπαντες* M²P¹P² 10 *ἁγίων* > V¹P³ | *τε* > H 27 *καὶ ἀπονοίας — 28 ῥημάτων* am Rand von 1. Hd. V¹ 27 *τῶν* > R 28 *δὲ* > RM²

συνόδου τέλος. τὰ δὲ περὶ τῆς ὀρθοδόξου πίστεως συμφώνως 4
ἅπαντες οἱ ἐπίσκοποι ἐν ὀλίγοις ῥήμασι διὰ τὴν τοῦ πιστοῦ πλήθους
τῶν λαῶν ἁπλότητα τὸ ὅλον περιλαβόντες οὐδέ πως ἐγγράφως ἐκτί-
θενται τὸ τῆς καθολικῆς πίστεως σύμβολον.

Ἔκθεσις τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως ἐκτεθείσης ὑπὸ τῆς ἐν Νικαίᾳ
συνόδου ἐπὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου ἐν ὑπατείᾳ Παυλίνου καὶ
Ἰουλιανοῦ τῶν λαμπρῶν ἔτους ἀπὸ Ἀλεξάνδρου χλς' ἐν μηνὶ Δεσίῳ ιθ̄ τῇ πρὸ δεκα-
τριῶν Καλανδῶν Ἰουλίου ἰνδ. ιγ̄ ἐν Νικαίᾳ μητροπόλει τῆς Βιθυνίας.

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα ὁρατῶν τε πάν- 27 1
των καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν 2
τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τοῦτ' ἔστιν
ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀλη-
θινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ
πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ,
τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελ- 3
θόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα ταφέντα καὶ 4
ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ
καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας
καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον αὐτοῦ πνεῦμα. 5

Τοὺς δὲ λέγοντας· »ἦν ποτε ὅτε οὐκ ἦν καὶ πρὶν γεννηθῆναι οὐκ 6
ἦν καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας
φάσκοντας εἶναι ἢ κτιστὸν ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ
θεοῦ« τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ
ἐκκλησία.

Αὕτη ἐστὶν ἡ πίστις, ἣν ἐξέθεντο οἱ ἐν Νικαίᾳ ἅγιοι ἡμῶν 7
πατέρες οἱ ὀρθόδοξοι ἐπίσκοποι πρῶτον μὲν κατὰ Ἀρείου βλασφη-
μοῦντος καὶ λέγοντος κτίσμα τὸν υἱὸν τοῦ θεοῦ καὶ κατὰ Σαβελλίου 8
τε καὶ Φωτεινοῦ καὶ Παύλου τοῦ Σαμοσατέως καὶ Μανιχαίου καὶ
Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ κατὰ πάσης δὲ αἱρέσεως, ἥτις ἐναν-

20—24 vgl. Philostorg. a. a. O.

A¹HR V¹P³ M²P¹P²

1 δὲ > H **2** ἐν ὀλίγοις ῥήμασι nach **3** ἁπλότητα ~ A¹R | τὴν > R **3f** ἐκτίθεται P² **5** νικαίας P³ **6** ἐπὶ] ὑπὸ P² | βασιλέως] μεγάλου R **7** χλς] χλΓ P³ | δίσίω (so!) A¹ | ιθ̄ > V¹P³ **7f** δεκατριῶν unleserlich A¹ **8** τῶν βιθυνῶν H τῶν βιθυνίων R **18** ἐρχόμενον + ἐρχόμενον H **19** πνεῦμα αὐτοῦ ~ R αὐτοῦ > V¹ **20** ποτε > V¹ **20f** καὶ πρὶν γεννηθῆναι οὐκ ἦν > P³ **21** ὅτι nach ὄντων ~ R | ἑτέρας] ἡμετέρας A¹ (wo aber ημ wieder radiert), R **22** ἢ κτιστὸν > M²P¹P²P³ **23** καὶ ἀποστολικὴ > H **25** ἅγιοι > R **27** σαβελίου A¹ **28** σαμωσατέως R **29** δὲ > H

ἑστη τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· οὓς κατέκρινεν ἡ ἐν 9
τῇ Νικαέων πόλει συνηγμένη τῶν ἁγίων ὀρθοδόξων σύνοδος, ὧν τὰ
ὀνόματα καὶ τῶν ἐπαρχιῶν αὐτῶν ἐστὶν ὑποτεταγμένα.

Ἀναφέρεται τοίνυν ἐπὶ τὸν εὐσεβῆ καὶ πανεύφημον βασιλέα τὰ 10
ὑπὸ τῆς συνόδου κεκριμένα ἥ τε κατὰ τῶν θεομάχων ἀπόφασις καὶ
ἡ τῆς ὀρθοδόξου πίστεως ἔκθεσις, ἣν ὡς θεόθεν προενεχθεῖσαν
ἀσμένως προσεδέξατο μετὰ πλείστης ὅσης σεβασμιότητος· τοὺς δὲ
ταύτης πολεμίους ὡς ἅτε θεῷ ἐναντιουμένους ἐξορίαν ὑποστῆναι
ψηφίζεται. ἐξ τοίνυν ἐκ τῶν μετὰ Ἀρείου ἐπισκόπων σὺν αὐτῷ 11
Ἀρείῳ καὶ τοῖς περὶ αὐτὸν συναπωσθῆναι ἠνέσχοντο. οἱ δὲ γὰρ 12
ἕνδεκα δείσαντες τοῦ τε θεοφιλοῦς βασιλέως τὴν παρουσίαν καὶ τῆς
συνόδου τῶν ἐπισκόπων τὸ πλῆθος, μὴ ἐξοστρακισθεῖεν, ὑποκρινά-
μενοι ὑπογράφουσιν εἰς τὸ ὁμοούσιον χειρὶ οὐ προθέσει. ταύτης 13
τῆς ὑπουλίας ἔξαρχος ὁ Νικομηδείας Εὐσέβιος, ὃς καὶ μέχρι τέλους
δείκνυται τῇ ἐφ' ἑκάτερα κεχρημένος γνώμῃ, καθὰ Εὐστάθιός τε ὁ
τῆς Ἀντιοχέων καὶ Εὐσέβιος ὁ Παμφίλου Ἀθανάσιός τε ὁ μέγας καὶ
πάντες οἱ τὰ τῆς συνόδου συγγραψάμενοι διηγοῦνται τῇ τε πρὸς
ἡμᾶς δι' ὑποκρίσεως τὸν ἄνδρα τοῦ δοκεῖν εἶναι καὶ τῆς τῶν ἐναν-
τίων συμμορίας γενναίως ὑπερμαχοῦντα.

Αἱ περὶ τῆς πίστεως ὑπογραφαὶ τῶν ἐπισκόπων.

Ὅσιος ἐπίσκοπος πόλεως Κορδούβης ταῖς κατὰ Ῥώμην καὶ 28 1
Σπανίαν καὶ Ἰταλίαν πᾶσαν καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς
ἐπέκεινα κατ' ἐμὲ οὖσιν ἕως τοῦ ὠκεανοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις
διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων Ῥώμης Βίτωνος καὶ Βικεντίου.

4—14 vgl. Rufin X 5 p. 965

A¹H R (bis Z. 19 ὑπερμαχοῦντα) V¹P³ M²P¹P²

1 ἡ > H **3** ἐστὶ τεταγμένα H **5** κεκριμμένα P¹ **8** ὡς — ἐναντιου-
μένους > V¹ | ἐξορίαν] ἐξουσίαν P² **10** συναποστῆναι HP² | γὰρ > M²P¹P²
γὰρ + ὁ A¹ + οἱ R **11** ἕνδεκα] ια A¹HR | τε > RM²P¹P² **12 f** ὑποκρινόμε-
νοι H **14** Νικομηδείων A¹ **15** τῆι ausnahmsweise mit iota adscriptum A¹ |
τῆς — γνώμης H, τὴν ἐφ' ἑκάτερα κεκτημένος γνώμην M²P¹P² | κεχρημέν[ος] A¹ |
[καθ]α A¹ **17** τῆς HM²P¹P² **17 ff** '(sie erzählen) daß der Mann auf unserer
Seite stehe (τῇ πρὸς ἡμᾶς ... εἶναι) aus Heuchelei, um zu scheinen, und daß er für
die Gegenpartei aufrichtig kämpfe'. Doch scheint der Text verderbt Ltz. **18** δοκεῖ[ν]
A¹ δοκεῖ P³ **19** ὑπερμαχοῦντα HRM²P¹P² ὑπερμαχοῦ[ ] A¹ ὑπερμαχοῦντες V¹P³ |
Nach Hinzufügung von τέλος τῶν διαλέξεων τῆς πρώτης συνόδου
bricht ab R **20** περὶ > V¹P³ **21** κορδούβης M² | ταῖς Holl] τῆς HV¹P³M²P¹P²
τοῖς A¹ (vgl. S. 135, 20) | [κατὰ] A¹ **22** ἱσπανίαν A¹ | τοῖς¹] ταῖς H ἐν τοῖς >
P² | λοιπαῖς P² **23** zu οὖσιν vgl. 24, 29. 50, 30. 68, 25. 80, 5

Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι 2
ταῖς κατ᾽ Αἴγυπτον πᾶσαν καὶ Λιβύην καὶ Πεντάπολιν καὶ τὰ ὅμορα
τούτοις ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν.

Εὐστάθιος Ἀντιοχείας τῆς μεγάλης ταῖς κατὰ Συρίαν κοίλην καὶ 3
Μεσοποταμίαν πᾶσαν καὶ Κιλικίαν ἑκατέραν.

Ἰωάννης Πέρσης ταῖς ἐν Περσίδι πάσῃ καὶ τῇ μεγάλῃ Ἰνδίᾳ. 4

Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου 5
καλλώπισμα, ταῖς κατ᾽ αὐτὴν Καππαδοκίαν Γαλατίαν Πόντον Διοσπόν-
του Παφλαγονίαν Πόντον Πολεμαϊκὸν Ἀρμενίαν μικρὰν καὶ μεγάλην.

Θεωνᾶς Κυζίκου ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον Λυδίαν 6
τε καὶ Καρίαν διὰ τῶν ὑπ᾽ αὐτὸν ἐπισκόπων Εὐτυχίου Σμύρνης καὶ
Μαρίνου Τρῳάδος.

Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ 7
Καισαρείας ταῖς κατὰ Παλαιστίνην καὶ Ἀραβίαν καὶ Φοινίκην.

Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ᾽ αὐτὸν τελούντων ταῖς 8
κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν σὺν τῇ Ἑλλάδι τήν τε Εὐρώπην
πᾶσαν Σκυθίαν ἑκατέραν καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἁπάσαις Θεσσα-
λίαν τε καὶ Ἀχαΐαν.

Νουνέχιος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευτέραν. 9

Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς ταῖς ἐν Δακίᾳ Καλα- 10
βρίᾳ Δαρδανίᾳ καὶ ταῖς ὁμόροις τούτοις.

Κεκιλιανὸς Καρθαγένης ταῖς κατὰ πάσας τὰς ἐπαρχίας τάς τε 11
Ἀφρικὰς καὶ τὰς Νουμηδίας καὶ Μαυριτανίας ἀμφοτέρας οὔσαις
ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.

Πιστὸς Μαρκιανουπόλεως ταῖς κατὰ τὴν Μυσίαν καὶ τὰ τῶν 12
Ἀθηνῶν καὶ Γάλλων ἔθνη καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν.

Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὢν εἰς 13

A¹H V¹P³ M²P¹P²

1 Ἀλέξανδρος > P³ | τότε] τε H τῷ M²P¹P² **2** τοῖς A¹ **4** u. ö. ταῖς corr. Harduin τῆς HSS **5** ἑκατέρας A¹ **8** αὐτὴν + τὴν H **9** παφλαγονίας M² | πόντου πολεμαϊκοῦ A¹HV¹P³ πόντου πτολεμαικοῦ M²P¹P² **10** λεωνᾶς A¹ | τοῖς A¹ | ἑλήσποντον A¹V¹ **11** αὐτῶν P² **14** ἀρραβίαν HM²P¹ **15** αὐτῶν H **16** μακεδονίαν + καὶ H **17** ἰλυρικὸν A¹ **19** τὴν > H **20** σαρδικοῖς A¹ | ταῖς] τῆς HM²P¹P²P³ **20f** καλαβρίᾳ] καὶ λαβρία H καλαυρίᾳ RV¹P³ **22** κικιλιανός H | καθαργαίνης A¹ καθαργένης P³ **22f** ταῖς κατὰ πᾶσαν ἐπαρχίαν τῆς τε ἀφρικῆς καὶ τῆς νουμηδίας καὶ μαυριτανίας ἀμφοτέραις HM²P¹P² **23** ἀμφοτέρας V¹P³ ἀμφοτέραις d. übr. HSS (vgl. S. 136, 22) **25** τὴν > HV¹ **26** γάλλων A¹HM²P¹P² Ἀθηνῶν *ist gesagt, weil die Nicaenische Liste (ed. Gelzer p. LXIV n. 212) auch einen* Πιστὸς Ἀθηνῶν *nennt Ltz.*

ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχὼν σὺν Παύλῳ ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ ταῖς ἐν ταῖς νήσοις πάσαις κυκλάσιν.

Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ 14
τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες πανταχοῦ γῆς παρέδωκαν.

Ὅπου ὁ βασιλεὺς ἀναστὰς ἐκ τοῦ θρόνου εὐχαριστηρίους φωνὰς ἀναπέμπει τῷ θεῷ.

Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος ἐπὶ τῇ ἐκθέσει τῆς ὀρθῆς καὶ 29 1
ἀποστολικῆς πίστεως τῆς ἐκ πνεύματος ἁγίου διὰ τῶν τριακοσίων ἁγίων ἡμῶν πατέρων ἐκφωνηθείσης ὥσπερ δι' ἑνὸς στόματος καὶ κυρωθείσης παρὰ πάντων ἡσθεὶς ἀνέστη ἐκ τοῦ θρόνου ἐπὶ παρουσίᾳ παντὸς τοῦ πλήθους τῶν τε ἁγίων ἀρχιερέων καὶ πάντων τῶν συνδραμόντων εἰς τὴν ἁγίαν ἐκείνην τῆς πίστεως ἀκρόασιν καὶ τὰς 2
χεῖρας ἁπλώσας καὶ τὸ ὄμμα τείνας εἰς τὸν οὐρανὸν πρὸς τὸν θεόν. εὐφήμοις ῥήμασιν ἀνύμνησε τὸν τῶν πάντων ἡμῶν σωτῆρα καὶ εὐεργέτην θεόν, ὅτι τὴν ποθουμένην αὐτῷ τῶν ἐπισκόπων ὁμόνοιαν καὶ τὴν περὶ τῆς ὀρθῆς καὶ σωτηρίου πίστεως αὐτῶν ὁμοφωνίαν αὐτῷ ἐπρυτάνευσε. τοσοῦτος ἦν ὁ πάντα ἄριστος ἐκεῖνος καὶ 3
θεοφιλὴς βασιλεὺς περὶ τὴν τῶν τοῦ θεοῦ ἐκκλησιῶν φροντίδα καὶ τὴν τῶν ποιμένων εἰρηνικωτάτην ὁμόνοιαν.

Οὐκ ἄτοπον δὲ ἡγοῦμαι καὶ τὰ Εὐσεβίου τοῦ Παμφίλου, ἅπερ 4
περὶ τούτων (τῶν ἐν τῇ συνόδῳ πραγματευθέντων λέγω) ποιεῖσθαι τὸν λόγον ἀρχόμενος καλῶς διελάβετο ἐν τῷ τρίτῳ αὐτοῦ βιβλίῳ τῷ εἰς τὸν βίον Κωνσταντίνου τοῦ θεοφιλοῦς βασιλέως, ἐντάξαι τῇδε τῇ συγγραφῇ. ἔστι δὲ ταῦτα· πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος 5
προτεινομένων πολλῆς τε ἀμφιβολίας τὰ πρῶτα παρά τινων γινο-

26—S. **107, 15** vgl. Eus. VC III, 13. 14. Socr. I 8, 21. Thdt. I 13, 2

A¹H V¹P³ M²P¹P²

1 *ἐπισκοπῆς* A¹H **2** *ὄντι ἀναγνώστῃ τότε* ∾ A¹ | *αὐτοῦ* > H **4** [*οἱ ἅγιοι*] A¹ **7** *γῆς* > M²P¹P² **11** *ἁγίων* > H **12** *ἡσθεὶς* — **13** *πάντων* > V¹P³ (Balf.) **13** *ἁγίων* übergeschrieben H > M²P¹ | *παντὸς* — *ἀρχιερέων*] *πάντων τῶν ἀρχιερέων* P² **15** *ἁπλώσας* > P² **16** *τῶν* > M² | *πάντων* *ὅλων* H | *ὑμῶν* H **18** *ὀρθῆς*] *ὀρθοδόξου* HM²P¹P² **20** *τῶν* > A¹ | *ἐκκλησίαν* A¹ **22** *τὰ*] *τὴν* M²P¹P² **24** *ἐν τῷ τρίτῳ λόγῳ τοῦ αὐτοῦ βιβλίου* P² **25** *ἐντάξας* P³ **26** *δῆτα* A¹V¹P³ Thdt *δὲ τῶν* HM²P¹P² *δὴ τῶν* Socr. *δὴ ταῦθ'* Eus.-HSS | nach *ἑκατέρου*, wie es scheint, Rasur A¹

μένης, ἐπηκροᾶτο πάντων ὁ βασιλεὺς ὁ πανεύφημος σχολῇ τε εὐτονωτάτῃ τὰς προτάσεις θατέρων τῶν μερῶν ὑπεδέχετο· ἐν μέρει τε 6
ἀντιλαμβανόμενος τῶν παρ᾽ ἑκατέρου τάγματος λεγομένων ἠρέμα τε
συνῆγε τοὺς φιλονείκως ἐνισταμένους πράως τε ποιούμενος τὰς πρὸς
ἕκαστον ὁμιλίας ἑλληνίζων τε τῇ φωνῇ. ἐπειδὴ μηδὲ ταύτης ἀμαθῶς
εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμπείθων τοὺς δὲ κατα- 7
δυσωπῶν τῷ λόγῳ τοὺς δὲ εὖ λέγοντας ἐπαινῶν πάντας τε εἰς
ὁμόνοιαν ἐλαύνων ἕως ὅτε ὁμογνώμονας καὶ ὁμοδόξους ἐπ᾽ αὐτῷ
κατεστήσατο ὡς ὁμοφώνως μὲν κρατῆσαι τὴν εὐσεβῆ δοξολογίαν
κρατυνθῆναί τε τὴν ἀληθῶς ἐκ πνεύματος ἁγίου παρὰ πάντων
τῶν προρρηθέντων ἁγίων ἡμῶν πατέρων ἐκφωνηθεῖσαν σωτή-
ριον πίστιν, ἐν τ᾽ αὐτῷ δὲ καὶ περὶ τῆς σωτηρίου ἑορτῆς τοῦ 8
πάσχα ἕνα παρὰ πᾶσιν ὁμολογηθῆναι καιρὸν ἐνομοθέτησε. τότε 9
δὴ καὶ ἐγγράφως δι᾽ ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα
κυρωθῆναι ὡρίσατο, καὶ περὶ τῶν καθ᾽ ἕκαστον ἐκκλησιαστικῶν
διατυπώσεων καὶ κανόνων ἐγγράφως ἐκθεῖναι τοὺς ἐπισκόπους
παρεγγυᾷ.

Περὶ Ἀκεσίου ἐπισκόπου τῶν Ναυατιανῶν καὶ τῶν σὺν αὐτῷ.

Κινεῖ δὲ ἡμᾶς ἡ τοῦ βασιλέως πίστις καὶ ἑτέρου πράγματος **30** 1
ἐπιμνησθῆναι, ὃς τὴν σπουδὴν καὶ πρόνοιαν τῆς ἐκκλησιαστικῆς
εἰρήνης ἐποιεῖτο, ὡς μηδὲ τὰ ἐλάχιστα αὐτὸν παραλιπεῖν. καὶ Ἀκέσιον
γὰρ τῆς τῶν Ναυατιανῶν θρησκείας ἐπίσκοπον καὶ τοὺς σὺν αὐτῷ
κεκλήκει εἰς τὴν σύνοδον ὡς καὶ αὐτοὺς τὸ ὁμοούσιον καὶ τὴν τριάδα
δοξάζοντας. μετὰ οὖν τὸ ἐκτεθῆναι καὶ ὑπογραφῆναι παρά τε τῆς 2
συνόδου καὶ τοῦ βασιλέως τὸν ὅρον τῆς πίστεως, ἠρώτα τὸν Ἀκέσιον
Κωνσταντῖνος ὁ βασιλεύς, εἰ καὶ αὐτὸς τῇ πίστει συντίθεται καὶ τῷ
ὁρισμῷ τῆς περὶ τοῦ πάσχα ἑορτῆς. ὁ δὲ Ἀκέσιος πρὸς αὐτόν· 3
»οὐδὲν καινόν, ἔφη, ὦ βασιλεῦ, ἡ σύνοδος ὥρισεν· οὕτω γὰρ ἄνωθεν
ἅπαντες ἐκ τῶν ἀποστολικῶν χρόνων παρειλήφαμεν καὶ τὸν ὅρον

15—17 vgl. Rufin X 5 am Schluß p. 965 — **19**—S. **108**, **9** vgl. Socr. I 10 p. 86f

A¹H V¹P³ M²P¹P²

6 *γλυκερός* A¹V¹P³ Thdt Eus. *γλυκύτερος* HM²P¹P² **8** *ὅτε* + *εἰς* M²P¹P² **9** *ὁμοφρόνως* V¹P³ **9** *εὐσεβῆ*—**11 f** *σωτήριον* Interpolation des Gel. **19** *κινεῖ*] *αἰνεῖ* P³ **20 f** *ἐποιεῖτο τῆς ἐκκλησιαστικῆς εἰρήνης* ∾ M²P¹P² **21** *αὐτῶν* P² **22** *τοῦ ναυάτου* A¹ *ναυατιανῶν* d. übr. HSS **23** *ἐκεκλήκει* V¹ | *ὁμοιούσιον* P³ **25** *καὶ τοῦ βασιλέως* > Socr. **27** *περὶ* > P² **28** *βασιλεύς* P² **29** *χρόνων* Socr.] *θρόνων* HSS

τῆς πίστεως καὶ τὸν χρόνον τῆς τοῦ πάσχα ἑορτῆς«. καὶ ὁ βασι- 4
λεὺς πρὸς αὐτόν· »τί οὖν τῆς κοινωνίας ἡμῶν χωρίζῃ«; ὁ δὲ Ἀκέσιος
τὰ ἐπὶ Δεκίου κατὰ τὸν διωγμὸν γενόμενα περὶ τῶν ἐν τῷ μαρτυρίῳ
μὴ δυνηθέντων ἀγωνίσασθαι ἀλλὰ ἀρνησαμένων διηγεῖτο καὶ ἀκρίβειαν
αὐστηροῦ κανόνος προεβάλλετο λέγων ὡς »ἄρα οὐ χρὴ τοὺς μετὰ τὸ
βάπτισμα ἡμαρτηκότας δέχεσθαι μετανοοῦντας ἢ τῆς κοινωνίας τοῦ
μυστηρίου τοῦ λοιποῦ ἀξιοῦσθαι«. ταῦτα εἰπόντος τοῦ Ἀκεσίου 5
ἔφη πρὸς αὐτὸν ὁ βασιλεύς· »θές, ὦ Ἀκέσιε, κλίμακα μόνος καὶ
ἀνάβηθι εἰς τὸν οὐρανόν«.

Μετὰ ταῦτα πάντες οἱ ἐπίσκοποι διατυπώσεις ἐκκλησιαστικὰς 6
διαφόρους ἐκτίθενται.

Περὶ τῶν ἐκκλησιαστικῶν διατυπώσεων λόγος διδασκαλικός.

Ὁμιλήσωμεν τῷ φωτί, ὃ ἔστιν ὁ Χριστός, ὡς πλησίον αὐτοῦ 31 1
ἑστῶτες· ὡς ὁρῶντες αὐτὸν οὕτως πολιτευσώμεθα ταῖς εὐχαῖς ταῖς
ἁγιαζούσαις. εὐχαὶ γὰρ ἁγιάζουσιν, ἐὰν λόγῳ θείῳ προσευχώμεθα,
λόγος δὲ θεῖος πάρεστιν, ἔνθα καρδία καὶ πολιτεία καθαρὰ ἐν ταπει-
νοφροσύνῃ φυλάττεται. ἔκαμνεν ὁ Ἰσραὴλ τὰς θυσίας ἐπιτελῶν·
ἔκραζον οἱ προφῆται πρὸς τὸν θεόν· »ἐξαπόστειλον τὸ φῶς σου
καὶ τὴν ἀλήθειάν σου«. ἐκεῖνοι ἔκραζον καὶ ἡμεῖς ἐλάβομεν·
»ἄλλοι κεκοπιάκασι«, καθὼς εἶπεν ὁ κύριος, »καὶ ἡμεῖς εἰς τὸν
κόπον αὐτῶν εἰσεληλύθαμεν«. ἦλθε γὰρ πρὸς ἡμᾶς αὐτὸς ὁ κύριος
λέγων »ἐγώ εἰμι τὸ φῶς, ἐγώ εἰμι ἡ ἀλήθεια«. ἀκαμάτως
ἐλάβομεν τὴν χάριν, ἀλλὰ διὰ καμάτου δεῖ ἡμᾶς φυλάξαι τὴν χάριν.

Περὶ τῶν λεγόντων μὴ δεῖν Χριστιανοὺς ἐργάζεσθαι. ἐπείπερ 2
τινὲς οὐκ ἐργάζεσθαι βουλόμενοι, ἀλλὰ περιεργάζεσθαι ἐκλαμβάνουσι
κακῶς τὰς τοῦ κυρίου ἱερὰς φωνὰς εἰπόντος »μὴ μεριμνᾶτε τῇ
ψυχῇ ὑμῶν, τί φάγητε« ὡς οὐ χρῆναι λέγοντες ἀκολουθοῦντας

18 Psal. 42, 3 — **20** vgl. Joh. 4, 38 — **22** Joh. 8, 12. 14, 6 — **26** Matth. 6, 25

A¹H V¹P³ M²P¹P²

3 *γενόμενα* H *γινόμενα* d. übr. HSS **4** *ἀγωνίζεσθαι* H **6f** *τῶν μυστη-ρίων* A¹ **7** *ταῦτα — Ἀκεσίου* > P² **12** *περὶ*] *ἐκ*, aber am Rand corr. *περὶ* P¹ **14** *πολιτευσόμεθα* A¹ **15** *προσευχόμεθα* M² **16f** *μετὰ ταπεινοφροσύνης* A¹ **17** *ἔκαμεν* HM²P¹ *ἔκαμνεν*, aber über *ν*¹ wohl · A¹ *ἔκαμψεν* P³ | *ὁ* > M²P¹P² **21** *κόπον*] *τόπον* A¹ *τόπον αὐτὸν* M²P¹ **22** [*τὸ φῶς*] A¹ **24** *μὴ* > M²P² **27** *φάγητε* A¹V¹ *φάγετε* HM²P¹P²P³ **27f** *ὑμῶν τί φάγετε ὡς οὐ χρῆναι λέγοντες ἀκολουθοῦντες* (so!) *τῇ φωνῇ* am Rand von 1. Hd. eingefügt P¹ **27** *ἀκολου-θοῦντ̄ς* A¹ *ἀκολουθοῦντες* HM²P¹ > P²

τῇ φωνῇ ταύτῃ ἐργάζεσθαι εἰς τὴν γῆν Χριστιανούς, ἀποδεικτέον ἡμῖν μὴ οὕτως εἰρηκέναι τὸν κύριον. ἐγχωρεῖ γὰρ καὶ ἐργάζεσθαι καὶ μὴ μεριμνᾶν, εἰδότας ἡμᾶς καὶ πιστεύοντας, ὅτι τῶν ἔργων ἡμῶν τὴν αὔξησιν καὶ τοὺς καρποὺς αὐτὸς ὁ κύριος δίδωσιν εἰπών· »οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ καθεύδῃ καὶ ἐγείρεται νύκτα καὶ ἡμέραν· καὶ ὁ σπόρος βλαστάνει καὶ μηκύνεται, ὡς οὐκ οἶδεν αὐτός«.

Περὶ τῶν ἱερωμένων. τοὺς ἱερωμένους εἰς τύπον καὶ εἰκόνα 3
χρὴ εἶναι τῶν ἐπουρανίων, καὶ τὸν μὲν ἐπίσκοπον ⟨θρόνον⟩ ἐπέχειν αὐτοῦ τοῦ κυρίου ὡς κεφαλὴν μετ᾽ αὐτὸν ὄντα τῆς ἐκκλησίας, ἧς παρείληφε, τὸν δὲ πρεσβύτερον τὸν σεραφικὸν ἐπέχειν θρόνον, τὸν δὲ διάκονον τὸν χερουβικόν· τὸν ὑπηρέτην εἰς διακονίαν τούτων εἶναι προσήκει.

Περὶ τοῦ μὴ δεῖν λαϊκοὺς ἀνιέναι ἐν τῷ ἄμβωνι. περὶ τοῦ 4
μὴ δεῖν λαϊκοὺς ἀνιέναι ἐν τῷ ἄμβωνι, πλὴν τῶν τεταγμένων ἀναγινώσκειν ἢ ψάλλειν ἐν ταῖς διφθέραις.

Περὶ τοῦ ἁγίου βαπτίσματος. τὸ βάπτισμα ἡμῶν οὐ τοῖς 5
αἰσθητοῖς ὀφθαλμοῖς κατανοητέον, ἀλλὰ τοῖς νοεροῖς. ὕδωρ ὁρᾷς, νόησον τὴν ἐν τοῖς ὕδασι κρυπτομένην τοῦ θεοῦ δύναμιν. ἐν γὰρ πνεύματι ἁγίῳ καὶ πυρὶ βαπτίζεσθαι ἡμᾶς οἱ ἱεροὶ διδάσκουσι λόγοι· ἐν γὰρ πίστει τοῦ βαπτίζοντος καὶ ἐν πίστει τοῦ βαπτιζομένου διὰ τῆς ἱερᾶς ἐπικλήσεως πλήρη τοῦ ἁγιασμοῦ τοῦ πνεύματος καὶ τοῦ θείου πυρὸς νόει τὰ ὕδατα· »αὐτὸς γάρ, φησί, βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί«. κατέρχεται μὲν οὖν ὁ βαπτιζόμενος ὑπεύθυνος ἁμαρτημάτων καὶ τῇ τῆς φθορᾶς δουλείᾳ ἐνεχόμενος· ἀνέρχεται δὲ ἐλευθερωθεὶς τῆς τε τοιαύτης δουλείας καὶ τῆς ἁμαρτίας, υἱὸς τοῦ θεοῦ καὶ κληρονόμος χάριτι αὐτοῦ γεγονώς, συγκληρονόμος δὲ Χριστοῦ, αὐτὸν ἐνδυσάμενος τὸν Χριστόν, καθὼς γέγραπται »ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε«.

5 Mark. 4, 26f — **21.24** Matth. 3, 11 — **24** vgl. Röm. 8, 21 — **28** vgl. Röm. 8, 16 — **30** Gal. 3, 27

A¹H V¹P³ M²P¹P²

3 *ἐδότας* M² **4** *αὐτὸς*] *αὐτοὺς* HM²P¹P² **6** *καθεύδει* HP² **9** *ἱερουμένων*, *ἱερουμένους* V¹P³ **10f** *ἐπέχειν* + *τὸν τύπον* M²P¹P² + *τὸν τόπον* P³ (Balf.), am Rand von späterer Hd. *τύπον*, das nach *ἐπίσκοπον* eingeschoben werden soll A¹ corr. Ltz. **12** *παρείληφε*] *παρῆλθε* P² **15** *ἀνιέναι*] *ἀναβαίνειν* HM²P¹P² **16** *ἀνιέναι* > A¹H **24** *αὐτὸς γὰρ — ἐν* > P³ | *βαπτίσει, φησὶν* P² | *βαπτίσει* + *ὑμᾶς* M²P¹P² **29** *Χριστόν* + *συγκληρονόμος καὶ τῆς βασιλείας αὐτοῦ* P² **30** *ἐνδύσασθε* M²

Περὶ τῆς θείας τραπέζης καὶ τοῦ ἐπ' αὐτὴν μυστηρίου τοῦ 6
σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. ἐπὶ τῆς θείας τραπέζης
πάλιν κάνταῦθα μὴ τῷ προκειμένῳ ἄρτῳ καὶ τῷ ποτηρίῳ ταπεινῶς
προσέχωμεν. ἀλλ' ὑψώσαντες ἡμῶν τὴν διάνοιαν, πίστει νοήσωμεν
κεῖσθαι ἐπὶ τῆς ἱερᾶς ἐκείνης τραπέζης τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν
αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀθύτως ὑπὸ τῶν ἱερέων θυόμε-
νον, καὶ τὸ τίμιον αὐτοῦ σῶμα καὶ αἷμα ἀληθῶς λαμβάνοντας ἡμᾶς.
πιστεύειν ταῦτα εἶναι τὰ τῆς ἡμετέρας ἀναστάσεως σύμβολα. διὰ
τοῦτο γὰρ οὔτε πολὺ λαμβάνομεν, ἀλλ' ὀλίγον, ἵνα γνῶμεν ὅτι οὐκ
εἰς πλησμονήν, ἀλλ' εἰς ἁγιασμόν.

Περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. οὐχ ἁπλῶς ὁ κύριος τὴν 7
ἑαυτοῦ σάρκα ὑπὲρ ἡμῶν παρέδωκεν εἰς πάθος καὶ θάνατον, ἀλλ'
ἵνα τὴν ἡμετέραν σωτηρίαν πραγματεύσηται, καίπερ ἐλεύθερος ὢν
τοῦ θανάτου, καθὼς ἀνωτέρω ὁ λόγος ἀπέδειξε. βοᾷ ὁ προφήτης
ὡς ἐκ προσώπου αὐτοῦ, προαναφωνῶν τὸ μέλλον τῆς κατὰ σάρκα
αὐτοῦ οἰκονομίας μυστήριον »ἐγενήθην, φησίν, ὡσεὶ ἄνθρωπος
ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος«. τίς δὲ ἐλεύθερος θανάτου,
εἰ μὴ θεός; ἀλλὰ κατὰ τὰς προαποδειχθείσας ἀποδείξεις σαρκωθεὶς
διὰ φιλανθρωπίαν, γέγονεν ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ταπει-
νώσας τὴν ἑαυτοῦ σάρκα μέχρι θανάτου, θανάτου δὲ στα-
ροῦ, ἣ καὶ ἐγηγέρθαι κηρύττεται, ἵνα ἡμᾶς ἀπαθανατίσας πρυτα-
νεύσῃ ἡμῖν τοῖς ἀπεγνωσμένοις δι' αὐτῆς τῆς ἡμετέρας ἀπαρχῆς τὴν
τῆς ἀναστάσεως ἡμῶν ἐλπίδα· ὅπως μηκέτι ὦμεν δοῦλοι τῷ αἰωνίῳ
θανάτῳ, ἀλλ' ἐλεύθεροι. καθάπερ καὶ ἡ ἀπαρχὴ ἡμῶν Χριστός, καθά
φησιν ὁ μακάριος ἀπόστολος Παῦλος· »ἀπαρχὴ Χριστός, ἔπειτα
οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ«. ὃν καὶ σωτῆρα αὐτὸν
δὴ τοῦτον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ καὶ πατρὸς
υἱὸν μονογενῆ ἀπεκδέχεσθαι ἡμᾶς ἐξ οὐρανῶν, ἀναστήσοντα ἡμῶν ἐκ
τῶν τάφων τὰ σώματα, ἐπιμαρτύρεται λέγων »ἡμῶν τὸ πολί-
τευμα, φησίν, ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδε-
χόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ
σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς

5 Joh. 1, 29 — **7** vgl. I Pe. 1, 19 — **10** vgl. Kol. 2, 23 — **14** vgl. S. 101, 2 — **16** Psal. 87, 5f — **19** vgl. Phil. 2, 8 — **25** I Kor. 15, 23 — **29** Phil. 3, 20

A¹H V¹P³ M²P¹P²

3 [μὴ] A¹ **4** προσέχομεν M² **9** ὅτι > P³ **13** καίπερ] καθάπερ P³ **14** ἀπέδειξε + καὶ A¹ **16** ἐγεννήθην P² **18** προαποδειχθείσας + ἀνωτέρω M²P¹P² **21** ἀπαθανατίσας A¹ **32** ὑμῶν H

δόξης αὐτοῦ«. οὕτως γὰρ δεῖ τὸ σῶμα ἡμῶν δοξασθῆναι, ὡς τὸ τοῦ δεσπότου, ἀνεπίδεκτον κακίας καὶ πάντων τῶν νῦν παθῶν, ἐλεύθερον τοῦ θανάτου καὶ τῆς ἁμαρτίας, ἅγιον, ἵνα ἐν καινότητι ζωῆς σὺν αὐτῷ περιπατῆσαι δυνηθῶμεν ἐν φωτὶ ἐπουρανίῳ, συμβασιλεύοντες ἀεὶ αὐτῷ τῷ Χριστῷ. ἐν ταύτῃ γὰρ τῇ ἐλπίδι καὶ τὸ ἅγιον εἰλήφαμεν βάπτισμα, καὶ τὴν σωτήριον τῶν ἁγίων αὐτοῦ μελῶν μετουσίαν ὑποδεχόμεθα. ταῦτα τῆς καθολικῆς ἐκκλησίας τὰ δόγματα.

Ὅτι μία ἡ ἐκκλησία τοῦ θεοῦ. μία ἡ ἐκκλησία ἐν οὐρανοῖς, ἡ 8 αὐτὴ καὶ ἐπὶ γῆς· ἐν ταύτῃ τὸ πνεῦμα τὸ ἅγιον ἐπαναπαύεται. αἱ ἔξω ταύτης οὖσαι αἱρέσεις, ἃς ἔχουσιν οἱ ἄνθρωποι, οὐκ εἰσὶ διδασκαλίαι τοῦ σωτῆρος ἡμῶν οὐδὲ τῶν ἀποστόλων, ἀλλὰ τοῦ σατανᾶ. καὶ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου. τὰ γὰρ Ἰουδαίων καὶ Ἑλλήνων ἑτέρῳ σχήματι ἐκδιδάσκουσιν. ἵνα ἀφέλωνται τῶν ἀνθρώπων τὴν ὄντως ζωήν.

Περὶ τῆς τοῦ θεοῦ προγνώσεως καὶ τοῦ κόσμου. μικρότερος 9 ὁ κόσμος ἐγένετο διὰ τὴν πρόγνωσιν· προέγνω γὰρ ὁ θεὸς ὅτι ἁμαρτήσει ὁ ἄνθρωπος. διὰ τοῦτο καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν προσδοκῶμεν, κατὰ τὰ ἱερὰ γράμματα. φαινομένης ἡμῖν τῆς ἐπιφανείας καὶ βασιλείας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. »καὶ παραλήψονται τότε, καθά φησι Δανιήλ, τὴν βασιλείαν ἅγιοι ὑψίστου«, καὶ ἔσται ἡ γῆ καθαρά, ἁγία, γῆ ζώντων. καὶ οὐ νεκρῶν· ἣν προεωρακὼς Δαυὶδ τῷ τῆς πίστεως ὀφθαλμῷ βοᾷ· »πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων«, γῇ πραέων καὶ ταπεινῶν. »μακάριοι γάρ, φησιν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν«. καὶ ὁ προφήτης· »καὶ πατήσουσιν αὐτήν, φησι, πόδες πραέων καὶ ταπεινῶν«.

Ταῦτα ἐκ τῶν σπουδασθέντων τοῖς ἁγίοις ἡμῶν πατράσιν ἐκκλη- 10 σιαστικῶν διατυπώσεων, μικρὰ ἐκ πολλῶν, τῇδε τῇ συγγραφῇ συνετάξαμεν. ἐξέθεντο δὲ καὶ ἐκκλησιαστικοὺς κανόνας εἴκοσιν ἐν αὐτῇ τῇ ἐν Νικαίᾳ συνόδῳ, οὓς καὶ αὐτοὺς ἀναγκαῖον ᾠήθην ἐντάξαι τῷ γράμματι.

3f vgl. Röm. 6, 4 — **4f** vgl. II Tim. 2, 12 — **14** vgl. I Tim. 6, 19 — **17ff** vgl. Jes. 65, 17. Tit. 2, 13 — **20** Dan. 7, 18 — **23** Psal. 26, 13 — **24** Matth. 5, 4 — **25** Jes. 26, 6

A¹H V¹P³ M²P¹P²

3 ἵνα + καὶ P² **4f** In A¹ manches unleserlich **8** μία > P³ | ἡ¹ > M²P¹P² | ἡ² > HP² **9** αἱ > H **13** ἑτέρων (aber wohl von 2. Hd. aus unleserlich gewordenen Buchstaben hergestellt) A¹ **15** καὶ > H **18** κατὰ] κυ = κυρίου P³ **22** προεγνωκὼς H **28** γραφῇ HM²P¹P²

Ὅροι ἐκκλησιαστικοί. συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν Νικαίᾳ ὡρίσθη τὰ ὑποτεταγμένα.

Περὶ εὐνούχων ἀποκοψάντων ἑαυτούς. *εἴ τις ἐκ νόσου ὑπὸ* 32 1
ἰατροῦ ἐχειρουργήθη ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, οὗτος μενέτω ἐν τῷ
κλήρῳ. εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, τοῦτον καὶ ἐν τῷ κλήρῳ
ἐξεταζόμενον πεπαῦσθαι προσήκει καὶ ἐκ τοῦ δεῦρο μηδένα τῶν
τοιούτων χρῆναι προάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ
τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν
εἴρηται, οὕτως εἴ τινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν εὐνουχίσθησαν,
εὑρίσκοιντο δὲ ἄλλως ἄξιοι, τούτους εἰς κλῆρον προσίεται ὁ κανών.

Περὶ τῶν ἀπὸ ἐθνικῶν εἰς χειροτονίαν προαχθέντων. *ἐπειδὴ* 2
πολλὰ εἴτε ὑπὸ ἀνάγκης ἢ ἄλλως πως ἐπειγομένων τῶν ἀνθρώπων
ἐγένετο παρὰ τὸν κανόνα τὸν ἐκκλησιαστικόν, ὥστε ἀνθρώπους ἀπὸ
ἐθνικοῦ βίου ἄρτι προσελθόντας τῇ πίστει καὶ ἐν ὀλίγῳ χρόνῳ
κατηχηθέντας, εὐθὺς ἐπὶ τὸ πνευματικὸν λουτρὸν ἄγειν, καὶ ἅμα τῷ
βαπτισθῆναι προάγειν εἰς ἐπίσκοπον ἢ πρεσβύτερον, καλῶς ἔχειν
ἔδοξε τοῦ λοιποῦ μηδὲν τοιοῦτον γίνεσθαι· καὶ γὰρ καὶ χρόνου δεῖ
τῷ κατηχουμένῳ καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος. σαφὲς
γὰρ τὸ ἀποστολικὸν γράμμα τὸ λέγον »μὴ νεόφυτον, ἵνα μὴ
τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου«. εἰ
δὲ προϊόντος τοῦ χρόνου ψυχικόν τι ἁμάρτημα εὑρεθείη περὶ τὸ
πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο καὶ τριῶν μαρτύρων, παύσεται ὁ
τοιοῦτος τοῦ κλήρου· ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ
μεγάλῃ συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τοῦ κλήρου.

Περὶ τῶν τὰς συνεισάκτους ἐχόντων. *περὶ τῶν συνεισάκτων* 3
ἀπηγόρευσε καθόλου ἡ μεγάλη σύνοδος, μὴ ἐπισκόπῳ μηδὲ πρεσβυ-
τέρῳ μήτε διακόνῳ μήτε ὅλως τῶν ἐν τῷ κλήρῳ τινὶ ἐξεῖναι συνεισ-
άκτον ἔχειν. πλὴν εἰ μὴ ἄρα μήτηρ ἢ ἀδελφὴ ἢ θεία ἢ ἃ μόνα

19 I Tim. 3, 6

A¹H V¹P³ M²P¹P²

2 *ὑποτεταγμένη* P³ 3 Diese und die folgenden entsprechenden Überschriften am Rand H | *ἀποκοπτόντων* M²P¹P²V¹ | *ἑαυτοὺς* + *περὶ τῶν ἀποκοπτόντων καὶ εὐνουχισάντων ἑαυτούς* A¹HV¹P³ 7 *προσάγεσθαι* A¹H 10 *εὑρίσκονται* HP² *εὑρίσκοντο* P³ | *δὲ* > P² | *τούτοις* M² 11 *ἀπὸ* > P² | *προαχθέντων*] *πραχθέντων* V¹P³ 16 *ἔχειν* > H 25 *τὰς* > M²P¹P² 27 *ὅλως*] *ἄλλως* M²P¹P² 28 *μητέρα, ἀδελφήν, θείαν* P³

πρόσωπα διαπέφευγε πᾶσαν ὑποψίαν. ὁ δὲ παρὰ ταῦτα ποιῶν κινδυνεύσει περὶ τὴν ἑαυτοῦ ἀξίαν.

Περὶ καταστάσεως ἐπισκόπων. ἐπίσκοπον προσήκει μάλιστα 4
μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι· εἰ δὲ
δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην ἢ διὰ μῆκος
ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γενομένων καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι εἰς ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ ἐπισκόπῳ.

Περὶ τῶν ἀκοινωνήτων γινομένων. περὶ τῶν ἀκοινωνήτων 5
γινομένων, εἴτε τῶν ἐν τῷ κλήρῳ εἴτε τῶν ἐν τῷ λαϊκῷ τάγματι,
ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ
τὸν κανόνα, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δέ, μὴ μικροψυχίᾳ ἢ φιλονεικίᾳ ἤ τινι τοιαύτῃ
ἀηδίᾳ τοῦ ἐπισκόπου ἀποσυνάγωγοι γεγένηνται. ἵνα οὖν τοῦτο τὴν
πρέπουσαν ἐξέτασιν λαμβάνῃ, καλῶς ἔχειν ἔδοξεν ἑκάστου ἐνιαυτοῦ
καθ' ἑκάστην ἐπαρχίαν δὶς τοῦ ἔτους συνόδους γίνεσθαι, ἵνα κοινῇ
πάντων τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων τὰ
τοιαῦτα ζητήματα ἐξετάζοιτο· καὶ οὕτως οἱ ὁμολογουμένως προσκε-
κρουκότες τῷ ἐπισκόπῳ κατὰ λόγον ἀκοινώνητοι παρὰ πάντων εἶναι
δοκῶσι, μέχρις ἂν τῷ κοινῷ ἢ τῷ ἐπισκόπῳ δόξῃ τὴν φιλανθρωποτέραν περὶ αὐτῶν ἐκθέσθαι ψῆφον. αἱ δὲ σύνοδοι γινέσθωσαν μία
μὲν πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀναιρουμένης τὸ
δῶρον καθαρὸν προσφέρηται τῷ θεῷ, δευτέρα δὲ περὶ τὸν τοῦ
μετοπώρου καιρόν.

Περὶ τῶν ἐξαιρέτων τιμῶν, αἳ τοῖς μείζονας κυβερνῶσιν 6
ἐπισκοπὰς ἐκκλησιαστικῶς ἐκανονίσθησαν. τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύαις καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον πάντων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις τὰ πρεσβεῖα σώζεσθαι ταῖς

A¹H V¹P³ M²P¹P²

2 *ἀξίαν* A¹V¹P³ *ἐξουσίαν* d. übr. HSS **6** *τριῶν* HM²P¹P² | *συναγομένους* Ltz. nach d. vulg. Text d. Kanones] *συναγομένων* HSS **7** *συνθεμένων* HM²P¹P² **9** *μητροπολίτῃ* + *ἢ* HM²P¹P² **10** *γενομένων* P² **11** *τῶν*² > P² | *λαϊκῶν* H **15** *τοῦ*] *τὰ* P² | *γεγένηται* M² **18** *αὐτὸς* M² **19** *καὶ* (fol. 33ᵛ) *οὕτως* aber darüber steht am Kopf der Seite die Überschrift von Kanon VI, die später am Rand noch einmal folgt H | *οἱ* > P² **25** *μεθοπόρου* A¹ **26f** corr. Harduin *τοὺς—ἐπισκόπους* A¹H *πρὸς τοὺς—ἐπισκόπους* d. übr. HSS, aber *τοῦ μείζονος* P³ *κυβερνοῦσιν* H **28** *λιβύῃ* HM²P¹P² **30** *καὶ* > A¹H

ἐκκλησίαις. καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴ τις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ σύνοδος ἡ μεγάλη ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον· ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ εὐλόγῳ οὔσῃ καὶ κατὰ τὸν κανόνα τὸν ἐκκλησιαστικὸν δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

Περὶ τοῦ ἐν Λιλίᾳ ἐπισκόπου. ἐπειδὴ συνήθεια κεκράτηκε καὶ 7
παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Λιλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς, τῇ μητροπόλει σωζομένου τοῦ οἰκείου ἀξιώματος.

Περὶ τῶν ὀνομαζομένων Καθαρῶν. περὶ τῶν ἑαυτοὺς μὲν 8
ὀνομαζόντων Καθαρούς ποτε, προσερχομένων δὲ τῇ ἁγιωτάτῃ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε χειροθετουμένους αὐτοὺς οὕτως μένειν ἐν τῷ κλήρῳ. πρὸ ἁπάντων δὲ τούτων ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δόγμασι, τοῦτ' ἔστι καὶ διγάμοις κοινωνεῖν καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν, ἐφ' ὧν καὶ χρόνος τέτακται καὶ καιροὺς ὥρισται, ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς καθολικῆς ἐκκλησίας. ἔνθα μὲν οὖν πάντες εἴτε ἐν κώμαις εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι εὑρίσκοιντο χειροθετηθέντες, εὑρισκόμενοι ἐν τῷ κλήρῳ ἔσονται ἐν τῷ αὐτῷ σχήματι. ὅσοι δὲ τοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόπου ἢ πρεσβυτέρου ὄντος προσέρχονται, πρόδηλον ὡς ὁ μὲν ἐπίσκοπος τῆς ἐκκλησίας ἕξει τὸ ἀξίωμα τοῦ ἐπισκόπου, ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς Καθαροῖς ἐπίσκοπος τὴν τοῦ πρεσβυτέρου τιμὴν ἕξει, πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτοῦ μετέχειν. εἰ δὲ μὴ τοῦτο αὐτῷ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ χωρεπισκόπου ἢ πρεσβυτέρου ὑπὲρ τοῦ ἐν τῷ κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο ἐπίσκοποι ὦσιν.

Περὶ χειροτονίας πρεσβυτέρων. εἴ τινες ἀνεξετάστως προ- 9
ήχθησαν πρεσβύτεροι, ἢ ἀνακρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς, καὶ ὁμολογησάντων παρὰ κανόνα κινούμενοι ἄνθρωποι χεῖρας

A¹H V¹P³ M²P¹P²

4 *καὶ* > P² **11** *τῶν*¹ > P³ **12f** *καθολικῇ καὶ ἀποστολικῇ* A¹ *ἀποστολικῇ* > H *ἀποστ. καὶ καθολ.* d. übr. HSS **14** *χειροτονουμένους* V¹P³ **17** *καὶ*¹ > V¹P³ **18** *καὶ*² > V¹P³ **19** *αὐτοὺς* > P² **21** *εὑρίσκονται* P² *εὑρίσκοντο* P³ **23** *προσέρχεται* P³ **25** *ἐπισκόποις* P² **26** *δοκεῖ* A¹ *δοκείη* H **27** *αὐτῷ* > H | *ἀρέσκει* A¹H **28** *χωρεπισκόπου* A¹ *χωρεπισκοπῆς* d. übr. HSS | *σκλήρῳ* P³ **30** *πρεσβυτέρων*] *ἐπισκόπων* M²P¹P²

ἐπιτεθείκασι, τοὺς τοιούτους ὁ κανὼν οὐ προσίεται. τὸ γὰρ ἀνεπίληπτον ἐκδικήσει ἡ καθολικὴ ἐκκλησία.

Περὶ τῶν πταιόντων καὶ προχειρισθέντων κατὰ ἄγνοιαν. 10 ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων κατὰ ἄγνοιαν ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο οὐ προκρίνει τῷ κανόνι τῷ ἐκκλησιαστικῷ· γνωσθέντες γὰρ καθαιροῦνται.

Περὶ παραβάντων χωρὶς ἀνάγκης. περὶ τῶν παραβαινόντων 11 χωρὶς ἀνάγκης ἢ ἀφαιρέσεως ὑπαρχόντων ἢ χωρὶς κινδύνων ἤ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικιννίου, ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρηστεύσασθαι εἰς αὐτούς. ὅσοι οὖν γνησίως μεταμέλονται, τρία ἔτη ἐν ἀκροωμένοις ποιήσουσι καὶ ἑπτὰ ἔτη ὑποπεσοῦνται, δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῶν εὐχῶν.

Περὶ τῶν ἀποταξαμένων καὶ πάλιν εἰς κόσμον ἀναδραμόντων. 12 οἱ προσκληθέντες ὑπὸ τῆς χάριτος καὶ τὴν πρώτην ὁρμὴν ἐνδειξάμενοι καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες, ὡς τινας καὶ ἀργύρια προΐεσθαι καὶ βενεφικίοις κατορθῶσαι τὸ στρατεύεσθαι, οὗτοι δέκα ἔτη ὑποπιπτέτωσαν μετὰ τὸν τῆς τριετοῦς ἀκροάσεως χρόνον. ἐφ' ἅπασι δὲ τούτοις προσήκει ἐξετάζειν τὴν προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις τὴν ἐπιστροφὴν ἔργῳ, οὐ σχήματι ἐπιδείκνυνται, οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, τῶν εὐχῶν κοινωνήσουσι μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ ἀδιαφόρως ἤνεγκαν καὶ τὸ σχῆμα τοῦ εἰσιέναι εἰς τὴν ἐκκλησίαν ἀρκεῖν ἑαυτοῖς ἡγήσαντο πρὸς τὴν ἐπιστροφήν, ἐξάπαντος πληρούτωσαν τὸν χρόνον.

17 f vgl. Prov. 26, 11

A¹H V¹P³ M²P¹P²

1 *ἐπιτιθείκασι* (so!) überdies erst verschrieben etwa in *ἐπιτιθέασι* H *ἐπιτεθήκασι* V¹ **3** *περὶ — 6 καθαιροῦνται* > H **3** *πταιόντων*] *πανόντων* V¹P³ (Balf.) **4** *καὶ* > P² **5 f** *προκρίνει τῷ ἐκκλησιαστικῷ κανόνι* A¹ **7** Die Überschrift ausnahmsweise im Text H | *περὶ*¹ + *τῶν* P³ **10** *χρήσασθαι* H **11** *μεταμέλλονται* M²P¹P² **12** *καὶ ἑπτὰ — 12 f κοινωνήσουσι* vom Corrector am Rand nachgetragen P¹ | *δὲ* > M²P¹P² **14** Die Überschrift wieder im Text H | *εἰς* + *τὸν* A¹M²P¹P² **17** *καὶ — 18 στρατεύεσθαι* > A¹ **19** *προσήκει* > H **20** *ἐξετάζει* H **21 f** *ἐπιστροφὴν* A¹M²P¹P² *ἐπιστρέφειαν* d. übr. HSS **22 f** *τὸν ὡρισμένον χρόνον* A¹ **24** *τῷ*] *αὐτῷ* M² | *βουλεύσασθαι* (fol. 34ʳ) *ὅσοι* aber am Kopf d. Seite vorgeschoben die Überschrift des folgenden Kanons 13; am Beginn dieses Kanons fehlt sie dann H **25** *διαφόρως* V¹P³ **26** *τὴν* > M²P¹P²

Περὶ τῶν ἐν τῷ ἀποθνήσκειν κοινωνίαν ἐπιζητούντων. περὶ 13
τῶν ἐξοδευόντων ὁ παλαιὸς καὶ κανονικὸς νόμος φυλαχθήσεται καὶ νῦν, ὥστε εἴ τις ἐξοδεύοι, τοῦ δεσποτικοῦ ἐφοδίου μὴ ἀποστερείσθω. εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας τυχὼν καὶ προσφορᾶς μετασχὼν πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθείη, ἔστω μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης. καθόλου δὲ καὶ περὶ παντὸς οὕτινος οὖν ἐξοδεύοντος αἰτοῦντος μετασχεῖν εὐχαριστίας, ὁ ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

Περὶ τῶν κατηχουμένων, παραπεσόντων δέ. περὶ τῶν κατη- 14
χουμένων καὶ παραπεσόντων ἐν τῇ κατηχήσει ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροασαμένους μόνον μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

Περὶ τοῦ μὴ δεῖν μετατίθεσθαι ἀπὸ ἑτέρας πόλεως εἰς ἑτέραν. 15
διὰ τὸν πολὺν τάραχον καὶ στάσεις τὰς γινομένας ἔδοξε παντάπασι περιαιρεθῆναι τὴν συνήθειαν τὴν παρὰ τὸν κανόνα εὑρεθεῖσαν ἔν τισι μέρεσιν, ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε ἐπίσκοπον μήτε πρεσβύτερον μήτε διάκονον. εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας συνόδου ὅρον τοιοῦτόν τι ἐπιχειρήσειεν ἢ ἐπιδῷ ἑαυτὸν πράγματι, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα καὶ ἀποκατασταθήσεται τῇ ἐκκλησίᾳ, ἧς ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἐχειροτονήθη.

Περὶ τῶν ἐν αἷς προεβλήθησαν ἐκκλησίαις οὐκ ἐμμενόντων. 16
ὅσοι ῥιψοκινδύνως, μήτε τὸν φόβον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, ἀναχωροῦσι τῆς ἐκκλησίας, πρεσβύτεροι ἢ διάκονοι ἢ ὅλως ἐν τῷ κλήρῳ ἐξεταζόμενοι, οὗτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ, ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας· ἐπιμένοντας δὲ ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τολμήσειέ τις ὑφαρπάσαι τὸν τῷ ἑτέρῳ διαφέροντα καὶ χειροθετήσει ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ μὴ συγκατατιθεμένου τοῦ ἐπισκόπου, οὗ ἀνακεχώρηκεν ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροθεσία.

Περὶ κληρικῶν τοκιζόντων. ἐπειδὴ πολλοὶ ἐν τῷ κανόνι ἐξετα- 17
ζόμενοι τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκέρδειαν διώκοντες ἐπελά-

A¹H V¹P³ M²P¹P²

1 *κοινωνίας ἐπιζητούντων μετασχεῖν* M²P¹P² **3** *ἐξοδεύει* A¹ **4** *καὶ*² — **5** *μετασχὼν* > M²P¹P² so auch vulg. Text **6** *οὖν* > HV¹P³ **7** *μετασχεῖν* + *δοκιμασίας* A¹ **13** *ἑτέραν*] *πόλιν* H **15** *παρὰ*] *περὶ* HP³ **16** *μὴ* > HP² **19** *πράγματι* + *τοιούτῳ* Balf. nach vulg. Text **19f** *ἀποκαταστήσεται* P² **24** *εἰδότες κανόνα* ∽ A¹ **29** *τις* > P³ | *τὸν* + *ἐν* P² **30** *ἑαυτοῦ* V¹P³ | *συγκαταθεμένου* V¹ **31** *ὁ* > M² **32** *πειδὴ* (die Initiale vergessen) A¹

θοντο τοῦ θείου γράμματος λέγοντος· »τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ« καὶ δανείζοντες ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος, ὡς εἴ τις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνων ἐκ μεταχειρίσεως ἢ ἄλλως μετερχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν ἢ ἕτερόν τι ἐπινοῶν αἰσχροῦ κέρδους ἕνεκα, καθαιρεθήσεται τοῦ κλήρου καὶ ἀλλότριος τοῦ κανόνος ἔσται.

Περὶ πρεσβυτέρων λαμβανόντων παρὰ διακόνων τὴν εὐχαριστίαν. *ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις ἢ πόλεσι πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν οὔτε ἡ συνήθεια παρέδωκε, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν τούτους τοῖς προσφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ. κἀκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται. ταῦτα οὖν πάντα περιῃρήσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσί, τῶν δὲ πρεσβυτέρων ἐλάττους τυγχάνουσι. λαμβανέτωσαν δὲ κατὰ τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους ἢ τοῦ ἐπισκόπου αὐτοῖς διδόντος ἢ τοῦ πρεσβυτέρου. ἀλλὰ μήτε καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις· παρὰ κανόνα γὰρ καὶ παρὰ τάξιν ἐστὶ τὸ γινόμενον. εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν, καὶ μετὰ τοὺς ὅρους πεπαύσθω τῆς διακονίας.* 18

Περὶ τῶν ἐκ Παύλου τοῦ Σαμοσατέως προσελθόντων ἢ προσιόντων τῇ καθολικῇ ἐκκλησίᾳ. *περὶ τῶν Παυλιανισάντων, εἶτα προσφυγόντων τῇ καθολικῇ ἐκκλησίᾳ ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος. εἰ δέ τινες ἐν τῷ παρεληλυθότι χρόνῳ ἐν τῷ κλήρῳ ἐξητάσθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονείσθωσαν ὑπὸ τοῦ τῆς ἐκκλησίας ἐπισκόπου· εἰ δὲ ἀνακριθέντες ἀνεπιτήδειοι εὑρίσκονται, καθαιρεῖσθαι αὐτοὺς προσήκει. ὡσαύτως δὲ καὶ περὶ τῶν διακόνων καὶ ὅλως περὶ τῶν ἐν τῷ αὐτῷ κανόνι ἐξεταζομένων ὁ αὐτὸς τύπος παραφυλαχθήσεται.* 19

1 Psal. 14, 6

A¹H V¹P³ M²P¹P²

5 *ἡμιολίας*] *ὁμιλίας* P² **6** *ἀλλότριον* P³ | *ἔσται τοῦ κανόνος* ∼ A¹ **7** *τὴν* > M²P¹P² **9** *πρεσβυτέροις* > V¹ **9f** *ὅπερ οὔτε* A¹V¹P³ *οὔτε δὲ* M²P¹P² *ὅπερ* > H **11** *προφέρειν* M² | *τούτοις* A¹H **13** *πάντα δὲ ταῦτα* M² *πάντα οὖν ταῦτα* ∼ P¹P² **18** *ἐξέσται* M²P¹P² **20** *θέλει* A¹ **21f** Die Überschrift im Text H **21** *σαμωσατέως* P² | *προελθόντων* A¹ **23** *ἐκτίθεται* H **24** *αὐτοὺς* > P² | *τινες* — S. **120, 6** *θειοτάτου* > folgt aber innerhalb des folgenden Synodalschreibens nach *ἀταξίας ἐμποιῆσαι* (S. 122, 21f) P¹ | *παρεληθότι* M²P¹ **25** *ἐξετάσθησαν* HV¹P³ **29** *ἐν* > V¹P³ | *φυλαχθήσεται* V¹P³

ἐμνήσθημεν δὲ καὶ τῶν διακονισσῶν τῶν ἐν αὐτοῖς, τῶν ἐν τῷ σχήματι ἐξετασθεισῶν, ἐπεὶ μήτε χειροθεσίαν τινὰ ἔχουσιν, ὡς ἐξ-ἁπαντος ἐν τοῖς λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

Περὶ τῶν ἐν κυριακῇ γόνυ κλινόντων. *ἐπειδὴ εἰσί τινες ἐν τῇ* 20
5 *κυριακῇ γόνυ κλίνοντες καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, ὑπὲρ τοῦ πάντα ὁμοίως ἐν πάσῃ παροικίᾳ ὁμοφρόνως φυλάττεσθαι ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ κυρίῳ.*

Τούτους τοὺς εἴκοσι νόμους τὸ αὐτὸ ἅγιον αὐτῶν συνέδριον ἐπὶ 21
παρουσίᾳ τοῦ θεοφιλεστάτου καὶ πανευφήμου βασιλέως Κωνσταν-
10 *τίνου περὶ τῆς ἐκκλησιαστικῆς πολιτείας ἐγράψαντο. ἐβουλεύσαντο* 22
δὲ καὶ ἕτερον νόμον ἐκθέσθαι τινὲς τῶν ἐπισκόπων, ὃν ὁ θεῖος ἐκώλυσε Παφνούτιος, περὶ οὗ ἀναγκαῖον ᾠήθην διηγήσασθαι μεγίστου θαύματος ἄξιον διήγημα. ἐδόκει τισὶ τῶν ἐπισκόπων νόμον νεαρὸν εἰς τὴν ἐκκλησίαν εἰσαγαγεῖν ἐν τῇ συνόδῳ ⟨καὶ⟩ ὡς περὶ τῶν ἄλλων
15 *τῆς ἐκκλησίας οὕτω καὶ τοῦτον ὁρίσαι.*

Περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους ἕκαστον τὴν ἑαυτοῦ γαμετὴν ἐκβάλλειν.

Ἔγραφον οὖν περὶ τοῦ μὴ δεῖν τοὺς ἱερωμένους, εἴτε ἐπίσκοποι **33** 1
εἴτε πρεσβύτεροι εἴτε διάκονοι εἴτε ὑποδιάκονοι εἴτε τις τοῦ ἱερα-τικοῦ καταλόγου, συγκαθεύδειν ταῖς γαμεταῖς, ἃς ἔτι λαϊκοὶ ὄντες
20 *ἠγάγοντο. τούτων οὕτω διατυπουμένων, ἀναστὰς ἐν μέσῳ τοῦ* 2
ὄχλου τῶν ἐπισκόπων ὁ θεῖος Παφνούτιος μεγάλῃ τῇ φωνῇ ἐβόησε λέγων· »μὴ βαρύνετε τὸν ζυγὸν τῶν ἱερωμένων, τίμιος γάρ, φησίν, ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος, μὴ τῇ ὑπερβολῇ τῆς ἀκριβείας τὴν ἐκκλησίαν μᾶλλον προσβλάψητε«, οὐ γάρ φησι πάντας
25 *δύνασθαι φέρειν τῆς ἀπαθείας τὴν ἄσκησιν. »οὐδείς, ὡς οἶμαι,* 3
φυλαχθήσεται ἐν τῇ σωφροσύνῃ τῆς ἑκάστου γαμετῆς τοῦ ἀνδρὸς στερουμένου. σωφροσύνην δὲ καλὴν καὶ τῆς νομίμου γαμετῆς ἑκάστου τὴν συνέλευσιν λέγω· μὴ μὴν ἀποζεύγνυσθαι ταύτην, ἣν ὁ θεὸς ἔζευξε.

13—119, 6 vgl. Socr. I 11 p. 88ff. Sozom. I 23, 3f — **22** Hebr. 13, 4 — **25** vgl. Matth. 19, 12 — **28** vgl. Matth. 19, 6

A^1H V^1P^3 $M^2P^1P^2$

1 *διακονισσῶν* M^2P^1 | *ἐν*^{2} + *αὐτῶ* $M^2P^1P^2$ **2** *ἐξετασθεισῶν* (fol. 34^v) *ἐπεὶ*, aber am Kopf d. Seite die Überschrift von Kan. 20, die dann nicht wieder folgt H (vgl. 115, 24) **4** *ἐν* + *τῇ* P^3 **6** *τούτου* HSS **8** *συνέδριον αὐτῶν* ∼ P^2 **10** *ἐγράψατο* $HM^2P^1P^2$ | *ἐβουλεύσατο* M^2 **11** *τινὲς* > V^1P^3 **13** *τινὶ* M^2 **14** corr. Ltz. **15** *ὁρίσαι* V^1P^3 *ὡρίσθαι* A^1 *ὁρίσασθαι* $HM^2P^1P^2$ **16** *ἕκαστος* P^2 **18** *πρεσβύτεροι εἴτε διάκονοι εἴτε* > P^3 **22** *βαρύνετε* + *λέγων* $M^2P^1P^2$ **23** *ἐν πᾶσι* > $M^2P^1P^2$ **25** *ὡς* > H **27** übers. *'wenn ihr der Mann geraubt ist'* *στερουμένης* $M^2P^1P^2$ | *σωφροσύνη* H | *καλὴν*] *καλὸν* H *καλεῖν* P^2 *καλλὴν* von junger Hd. corr. in *καλεῖν* P^3 **28** *τὴν* > $M^2P^1P^2$ | *μὴ*] *οὐ* A^1

καὶ ἦν ἅπαξ ἀναγνώστης ἢ ψάλτης ἢ λαϊκὸς ὢν ἠγάγετο. καὶ 4
ταῦτα ἔλεγεν ὁ Παφνούτιος ἄπειρος ὢν γάμου διὰ τὸ νηπιόθεν ἐν
ἀσκητηρίοις ἀναστρέφεσθαι αὐτόν. διὸ πεισθεὶς ὁ πᾶς τῶν ἐπισκόπων
σύλλογος τῇ τοῦ ἀνδρὸς συμβουλίᾳ ἀπεσίγησε περὶ τοῦ ζητήματος
τούτου, τῇ γνώμῃ καταλείψαντες τῶν βουλομένων κατὰ συμφωνίαν
ἀπέχεσθαι τῆς ἰδίας γαμετῆς.

Ταῦτα ἐπράχθησαν ἐπὶ τῆς ἁγίας καὶ μεγάλης καὶ οἰκουμενικῆς 5
συνόδου τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας συναθροισθείσης. Εὐσέβιος δὲ
καὶ Θεόγνιος καὶ οἱ σὺν αὐτοῖς Ἀρειανοὶ οὐκ ἐνεγκόντες τὴν τῆς
ἀληθοῦς πίστεως κρατυνθεῖσαν βεβαίωσιν ἔτι μὴν καὶ τὸν Ἄρειον
ἀναθεματίσαι μὴ ἀνασχόμενοι, φωραθέντες καὶ αὖθις ἐπὶ τούτῳ
ἐξορίᾳ ὑπέπεσον ψήφῳ τοῦ θεοφιλεστάτου βασιλέως καὶ κρίσει τῆς
ἁγίας τῶν ἐπισκόπων συνόδου, ἄλλων ἀντ᾽ αὐτῶν ἐν ταῖς αὐτῶν
παροικίαις καταστάντων ψήφῳ τῆς αὐτῆς συνόδου καὶ τοῦ τῆς
ἑκάστου παροικίας κλήρου καὶ λαοῦ. καὶ Ἀμφίων μὲν τὴν τῆς 6
Νικομηδέων ἐκκλησίας ἡγεμονίαν παρέλαβε, Χρῆστος δὲ τὴν αὐτῆς
Νικαίας καὶ ἄλλοι τὰς τῶν ὁμοφρόνων αὐτῷ. ἀλλὰ καὶ πάλιν ταῖς
ἐξ ἔθους χρησάμενοι μηχαναῖς Εὐσέβιος καὶ Θεόγνιος καὶ τὴν βασιλέως
φιλανθρωπίαν ἐφόδιον ἐξ ἀπάτης εὑρόντες, ἀναπαλαῖσαι πάλιν καὶ
τὴν προτέραν δυναστείαν ἀπολαβεῖν ἐπειρῶντο. καὶ τὰ μὲν τούτων 7
κάκιστα μηχανήματα πάμπολλα ὄντα καὶ πάσης ἀσεβείας ἔμπλεα
τυγχάνοντα πρὸς τὴν Θεοδωρήτου καὶ τῶν λοιπῶν συγγραψάντων
ἐκκλησιαστικὴν ἱστορίαν τοὺς βουλομένους καταμαθεῖν παραπέμψομι.
βαδιῶ δὲ ἐγὼ ἐντεῦθεν τῷ λόγῳ ἐπὶ τὰ ἑξῆς, περὶ ὧν ἡ τῶν
ἐπισκόπων ἐπέστειλε σύνοδος τοῖς ἀπολειφθεῖσιν ἐπισκόποις καὶ ταῖς
ἑαυτῶν παροικίαις, οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ νικηφόρος καὶ πιστότατος
βασιλεὺς εἰς σύστασιν τῆς τε ἐκτεθείσης ἁγιωτάτης πίστεως καὶ τῆς
ἁγίας ἑορτῆς τοῦ πάσχα, εἰς ἔλεγχον δὲ τῶν τῆς ἀσεβείας προ-
στατῶν. ἐπὶ τούτοις γὰρ πᾶσι μεγαλοφυῶς συγκροτηθείσης τῆς 8
συνόδου καὶ θεοπρεπῶς ἐκφωνηθείσης τῆς πίστεως τά τε κατὰ τὴν

15—20 vgl. Thdt. I 20, 11 p. 69. Sozom. I 21, 5

A¹H V¹P³ M²P¹P²

2 ὁ + *μέγας* V¹P³ | ἄπειροι M² **3** ἀνατρέφεσθαι V¹P³ | πεισθεὶς] προσθεὶς M²P¹P² **4** συμβουλῇ H **8** ἀθροισθείσης V¹P³ **9** Θέογνις H **12** ἐπέσεβε
πεσον P² | ψήφῳ — βασιλέως > A¹ | θεοφιλεστάτου + καὶ φιλοχρίστου P² **16** ἐκκλησίαν H | ἡγεμονίαν > H | αὐτῆς A¹ τῆς d. übr. HSS **17** αὐτῷ HV¹P³ αὐτῶν d. übr. HSS **18** Θέογνις HP³ **19** ἀναπαλέσαι (so) P¹ + δὲ M² **20** ἀναλαβεῖν M²P¹P² **21** πάμπολα HM²P¹P³ **24** ἐγὼ nach λόγῳ A¹ τὰ] τὸ A¹ **25** ἀπέστειλε V¹P³ **26** ἑαυτῶν] αὐτῶν M²P¹P² αὐτῷ H **28** ἔλεγχον] ἔλεγον M² **28f** πρωτοστατῶν V¹P³

ἐκκλησιαστικὴν εὐταξίαν τυπώσαντες ἅπαντα οἱ ἅγιοι πατέρες δηλῶσαι πάντα τὰ ὡρισμένα διὰ γραμμάτων πάσαις ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις ἐσπούδασαν, συνάψαντες καὶ τὰ κατὰ Μελίτιον.

Περὶ τοῦ ἀνοσίου Μελιτίου.

Ἐπειδὴ δὲ καὶ Μελίτιός τις ἐπισκοπῆς χειροτονίας ἠξιωμένος οὐ **34** **1**
πρὸ πολλοῦ τῆς Ἀρείου μανίας, διελεγχθεὶς ὑπὸ τοῦ θειοτάτου Πέτρου τοῦ τῆς Ἀλεξανδρέων ἐπισκόπου, τοῦ καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδησαμένου, καθαιρεθεὶς ὁ αὐτὸς Μελίτιος οὐκ ἔστερξε τὴν τῆς καθαιρέσεως ψῆφον, ἀλλὰ τήν τε Θηβαΐδα καὶ τὴν πελάζουσαν Αἴγυπτον θορύβων καὶ ζάλης ἐνέπλησε, τυραννίδι κατὰ τῆς Ἀλεξάνδρου τοῦ ἐπισκόπου χρώμενος προεδρίας· ἔγραψε δὲ τὸ κοινὸν τῆς συνόδου πρὸς τὴν τῶν Ἀλεξανδρέων ἐκκλησίαν, ἅπερ περὶ τῆς τούτου νεωτεροποιίας ἐνομοθέτησεν·

»Συνοδικὴ ἐπιστολὴ γραφεῖσα τοῖς κατὰ Ἀλεξάνδρειαν καὶ **2**
»Αἴγυπτον καὶ Πεντάπολιν καὶ Λιβύην καὶ ταῖς κατὰ πᾶσαν τὴν ὑπ᾽
»οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις κλήροις τε καὶ λαοῖς τῆς ὀρθο-
»δόξου πίστεως παρὰ τῆς ἐν Νικαίᾳ ἁγίας συνόδου· τῇ ἁγίᾳ καὶ μεγάλῃ
»θεοῦ χάριτι Ἀλεξανδρέων ἐκκλησίᾳ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον καὶ
»Πεντάπολιν καὶ Λιβύην καὶ τοῖς κατὰ τὴν ὑπ᾽ οὐρανὸν ἀγαπητοῖς
»ἀδελφοῖς, κλήροις τε καὶ λαοῖς ὀρθοδόξοις, οἱ ἐν Νικαίᾳ συναχθέντες
»καὶ τὴν ἁγίαν καὶ μεγάλην σύνοδον συγκροτήσαντες ἐπίσκοποι ἐν
»κυρίῳ χαίρειν.

»Ἐπειδὴ τῆς τοῦ θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως **3**
»Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων
»ἡ μεγάλη καὶ ἁγία σύνοδος ἐν Νικαίᾳ συγκροτηθεῖσα τὰ περὶ τῆς
»ἐκκλησιαστικῆς πίστεως διείληφεν, ἅτινα ἀναγκαῖον ἡμῖν ἐφάνη

6—**123**, **13** vgl. Socr. I 9, 1—14 p. 57ff. Thdt I 9. Das Synodalschreiben 15ff findet sich auch in den Athanas.-HSS (vgl. G. Loeschcke im Rh. Mus. 59, 461ff und Parmentiers Theodoretausgabe S. 38), und bis 122,27 lateinisch S. Leonis opera III 587f

A^1H V^1P^3 $M^2P^1P^2$

4 u. ö. *Μελέτιον* $M^2P^1P^2$ **5** *περὶ Μελιτίου τοῦ ἀνοσίου* (am Rand) H **6** *ἐπεὶ* HV^1P^3 **7** *διελεχθείς* H **8** *τοῦ*^{1} > P^2 **9** *ἔστερξε*] *ἔστεξε* A^1 *ἐδέξατο* H **11** *τυραννίδος* HP^3 **12** *προεδρίας*] *παρρησίας* P^2 | *δὲ*] *δεῖ* (so) A^1 *δὴ* Klosterm. **14** *νεωτερίας* V^1 *νεοτεροποιίας* P^3 | *ἐνομοθεσηῶ* V^1 **16f** *τῆς . . . . ἁγίας . . . ἐκκλησίας* A^1 **18** *Νικαίας* P^3 | *συνόδου* + *τῶν τριακοσίων ἐπισκόπων* $M^2P^1P^2$ + *τῶν τ ἐπ.* V^1 + *τῶν τῶν ἐπ.* P^3 | *ἡ ἁγία καὶ μεγάλη σύνοδος* steht vor *τῇ ἁγίᾳ* etc. $M^2P^1P^2V^1P^3$ (vgl. G. Loeschcke a. a. O. 464) | *μεγάλῃ* + *τοῦ* H **21** *λαοῖς*] *τοῖς* H | *συναχθέντες* — **22** *μεγάλην* > P^3 **24** *θεοῦ*] *χριστοῦ* V^1P^3

»ἀποσταλῆναι παρ᾽ ἡμῶν πρὸς ὑμᾶς διὰ γραμμάτων, ἵνα εἰδέναι ἔχοιτε,
»τίνα μὲν ἐκινήθη καὶ ἐξητάσθη, τίνα δὲ ἔδοξε καὶ ἐκρατύνθη· πρῶτον
»μὲν οὖν ἁπάντων ἐξητάσθη τὰ κατὰ τὴν ἀσέβειαν καὶ τὴν παρανο-
»μίαν Ἀρείου καὶ τῶν σὺν αὐτῷ ὑπὸ παρουσίᾳ τοῦ θεοφιλεστάτου
»βασιλέως ἡμῶν Κωνσταντίνου. καὶ παμψηφὶ ἔδοξεν ἀναθεματι- 4
»σθῆναι αὐτὸν καὶ τὴν ἀσεβῆ αὐτοῦ δόξαν καὶ τὰ ῥήματα καὶ τὰ
»νοήματα αὐτοῦ τὰ βλάσφημα οἷς ἐκέχρητο βλασφημῶν τὸν υἱὸν
»τοῦ θεοῦ, λέγων ἐξ οὐκ ὄντων εἶναι καὶ πρὶν γεννηθῆναι μὴ εἶναι
»καὶ ἦν πότε ὅτε οὐκ ἦν καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς
»δεκτικὸν τὸν υἱὸν τοῦ θεοῦ λέγοντος καὶ κτίσμα ὀνομάζοντος καὶ
»ποίημα. ταῦτα πάντα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος, οὐδὲ ὅσον 5
»ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης καὶ τῆς ἀπονοίας καὶ τῶν βλασφήμων
»ῥημάτων αὐτοῦ ἀνασχομένη. καὶ τὰ μὲν κατ᾽ ἐκεῖνον οἷον τέλους
»τετύχηκε πάντως ἢ ἀκηκόατε ἢ ἀκούσεσθε, ἵνα μὴ δόξωμεν
»ἐπεμβαίνειν ἀνδρὶ δι᾽ οἰκείαν ἁμαρτίαν ἄξια τἀπίχειρα κομισα-
»μένῳ. τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ ἡ ἀσέβεια, ὡς καὶ παραπολέσαι 6
»Θεωνᾶν τὸν ἀπὸ Μαρμαρικῆς καὶ Σεκοῦνδον τὸν ἀπὸ Πτολεμαΐδος·
»τῶν γὰρ αὐτῶν κἀκεῖνοι σὺν τοῖς ἄλλοις τετυχήκασιν.

»Ἀλλ᾽ ἐπειδὴ ἡ τοῦ θεοῦ χάρις τῆς μὲν κακοδοξίας ἐκείνης καὶ
»τῆς βλασφημίας καὶ τῶν προσώπων τῶν τολμησάντων διάστασιν καὶ
»διαίρεσιν ποιήσασθαι τοῦ εἰρηνευομένου ἄνωθεν λαοῦ ἠλευθέρωσε
»τὴν Αἴγυπτον, ἐλείπετο δὲ τὸ κατὰ τὴν προπέτειαν Μελιτίου καὶ
»τῶν ὑπ᾽ αὐτοῦ χειροτονηθέντων, καὶ περὶ τούτου τοῦ μέρους ἃ
»ἔδοξε τῇ συνόδῳ ἐμφανίζομεν ὑμῖν, ἀγαπητοὶ ἀδελφοί. ἔδοξεν 7
»οὖν Μελίτιον μὲν φιλανθρωπότερον κινηθείσης τῆς συνόδου (κατὰ
»γὰρ τὸν ἀκριβῆ λόγον οὐδεμιᾶς συγγνώμης ἄξιος ἦν) μένειν ἐν τῇ
»αὐτοῦ πόλει καὶ μηδεμίαν ἐξουσίαν ἔχειν μήτε χειροτονεῖν μήτε
»χειρίζειν μήτε χειροθετεῖν μήτε ἐν χώρᾳ μήτε ἐν πόλει ἑτέρᾳ
»φαίνεσθαι ταύτης τῆς προφάσεως ἕνεκα, ψιλὸν δὲ τὸ ὄνομα τῆς
»τιμῆς κεκτῆσθαι. τοὺς δὲ ὑπ᾽ αὐτοῦ κατασταθέντας μυστικωτέρᾳ 8

A¹H V¹P³ M²P¹P²

3 ἁπάντων > P² | τὴν² > V¹P³ **4** ὑπὸ A¹H ἐπὶ d. übr. HSS **5** βασιλέως > P³ | ἔδοξαν V¹P³ **5f** ἀναθεματίζειν HM²P¹P² **8** θεοῦ + καὶ P¹, Rasur M², nachträglich eingefügt P² | καὶ πρὶν — εἶναι > P² **10** δεκτικὸν > P² **10f** ὀνομάζοντος καὶ ποίημα > P³ **13** ἐκείνου M²P¹P² | τέλους > A¹ (aber von späterer Hd. nach τετύχηκε Z. 14 nachgetragen) **14** ἀκηκόετε H **16** ἴσχυσε δὲ (δ corr. aus ν) ∾ H | ἡ > P³ | ὡς > P¹ **17** βαρβαρικῆς V¹ **20** τῆς > M²P¹P²V¹P³ **21** εἰρηνευομένου] εἰρημένου M²P¹P² **22** δὲ + καὶ H **24** ἡμῖν HV¹ **25** Μελίτιον] βέλτιον V¹P³ | μὲν > P²

»χειροτονίᾳ βεβαιωθέντας κοινωνηθῆναι ἐπὶ τούτοις ἐφ᾽ ᾧ τε ἔχειν »μὲν αὐτοὺς τὴν τιμὴν καὶ λειτουργεῖν, δευτέρους δὲ εἶναι ἐξάπαντος »πάντων τῶν ἐν ἑκάστῃ παροικίᾳ καὶ ἐκκλησίᾳ ἐξεταζομένων τῶν »ὑπὸ τὸν τιμιώτατον καὶ συλλειτουργὸν ἡμῶν Ἀλέξανδρον προκεχει- »ρισμένων. ὡς τούτοις μὲν μηδεμίαν ἐξουσίαν εἶναι τοὺς ἀρέσκοντας »αὐτοῖς προχειρίζεσθαι ἢ ὑποβάλλειν ὀνόματα ἢ ὅλως ποιεῖν τι χωρὶς »γνώμης τοῦ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐπισκόπου »τῶν ὑπὸ Ἀλέξανδρον τελούντων, τὸν ὁσιώτατον συλλειτουργὸν »ἡμῶν. τοὺς δὲ χάριτι θεοῦ καὶ εὐχαῖς ὑμετέραις ἐν μηδενὶ σχίσ- 9
»ματι εὑρεθέντας, ἀλλὰ ἀκηλιδώτους ἐν τῇ καθολικῇ καὶ ἀποστολικῇ »ἐκκλησίᾳ ὄντας ἐξουσίαν ἔχειν καὶ προχειρίζεσθαι καὶ ὀνόματα ἐπι- »λέγεσθαι τῶν ἀξίων τοῦ κλήρου καὶ ὅλως πάντα ποιεῖν καὶ κατὰ »νόμον καὶ θεσμὸν τὸν ἐκκλησιαστικόν. εἰ δέ τινα συμβαίη ἀνα- 10
»παύσασθαι τῶν ἐν τῇ ἐκκλησίᾳ τηνικαῦτα προσαναβαίνειν εἰς τὴν »τιμὴν τοῦ τετελευτηκότος τοὺς ἄρτι προσληφθέντας μόνον εἰ ἄξιοι »φαίνοιντο καὶ ὁ λαὸς αἱροῖτο συνεπιψηφίζοντος αὐτῷ καὶ ἐπι- »σφραγίζοντος τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου. τοῦτο δὲ τοῖς 11
»μὲν ἄλλοις ἅπασι συνεχωρήθη· ἐπὶ δὲ τοῦ Μελιτίου προσώπου »οὐκέτι τὰ αὐτὰ ἔδοξε διὰ τὴν ἀνέκαθεν αὐτοῦ ἀταξίαν καὶ διὰ τὸ »πρόχειρον καὶ προπετὲς τῆς γνώμης, ἵνα μηδεμία ἐξουσία ἢ αὐθεντία »αὐτῷ δοθείη, ἀνθρώπῳ δυναμένῳ πάλιν τὰς αὐτὰς ἀταξίας ἐμ- »ποιῆσαι. ταῦτά ἐστι τὰ ἐξαίρετα καὶ διαφέροντα Αἰγύπτῳ καὶ τῇ 12
»ἁγιωτάτῃ Ἀλεξανδρέων ἐκκλησίᾳ. εἰ δέ τι ἄλλο ἢ ἐκανονίσθη ἢ »ἐδογματίσθη συμπαρόντος τοῦ κυρίου καὶ τιμιωτάτου συλλειτουργοῦ »καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς παρὼν ἀκριβέστερον ἀνοίσει »ταῦτα πρὸς ὑμᾶς, ἅτε δὴ καὶ κύριος καὶ κοινωνὸς τῶν γεγενημένων »τυγχάνων. 13

»Εὐαγγελιζόμεθα δὲ ὑμᾶς καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγιω- »τάτου πάσχα, ὅτι ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ »μέρος, ὥστε πάντας τοὺς ἐν τῇ ἑῴᾳ ἀδελφούς, τοὺς μετὰ τῶν

A¹H V¹P³ M²P¹P²

2 *μὲν* > A¹ **3** *τῶν*²] *τὸν* V¹ **4** *τιμιώτατον* + *ἡμῶν* H **5** *μηδεμίαν*] *οὐδὲ μίαν* P² | *ἐξουσίαν* > V¹ **6** *ὀνόματα* V¹P³ *ὀνόματι* A¹HM²P¹P² **8** *ἀλεξάνδρου* H **9** *ἡμετέρας* H **9f** *σχήματι* P¹V¹P³ (wo aber von späterer Hd. corr. in *σχίσματι*), *σχίσματι* aber *ἴσματι* auf Rasur M² **10** *ἀλλὰ* + *καὶ* P² + *καὶ* V¹ **15** *προσληφθέντας* HM²P¹P² Socr. Thdt. *προσληφθέντας* A¹ *προληφθέντας* V¹P³ **24** *κυρίου* A¹ *κυροῦ* HM²P¹P²V¹P³ **26** *τῶν γεγενημένων*] *ἡμῖν* M²P¹ *ὑμῖν* (aber statt *υ* ursprüngl. *η*) P² **28f** *ἁγίου* V¹P³ **29** *κατορθώθη* HM²P¹P²

»Ἰουδαίων τὸ πρότερον ποιοῦντας, συμφώνως Ῥωμαίοις καὶ ὑμῖν καὶ »πᾶσιν ἡμῖν τοῖς ἐξ ἀρχαίου μεθ' ὑμῶν φυλάσσουσι τὸ πάσχα ἐκ τοῦ »δεῦρο ἄγειν τὴν αὐτὴν ἁγιωτάτην ἑορτὴν τοῦ πάσχα. χαίροντες 14
»οὖν ἐπὶ τοῖς κατορθώμασι καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ καὶ συμφωνίᾳ,
»καὶ ἐπὶ τῷ πᾶσαν αἵρεσιν ἐκκοπῆναι, ἀποδέξασθε μὲν μετὰ μείζονος
»τιμῆς καὶ πλείονος ἀγάπης τὸν συλλειτουργὸν ἡμῶν, ὑμῶν δὲ ἐπί-
»σκοπον Ἀλέξανδρον τὸν εὐφράναντα ἡμᾶς τῇ αὐτοῦ παρουσίᾳ καὶ
»ἐν ταύτῃ τῇ ἡλικίᾳ τοσοῦτον πόνον ὑποστάντα ὑπὲρ τοῦ εἰρήνην
»γενέσθαι παρά τε ὑμῖν καὶ πᾶσιν. εὔχεσθε δὲ καὶ περὶ ἡμῶν ἁπάντων,
»ἵνα τὰ καλῶς ἔχειν δόξαντα, ταῦτα βέβαια μένοι κατ' εὐδοκίαν
»γεγενημένα ὡς πιστεύομεν διὰ τοῦ παντοκράτορος θεοῦ καὶ τοῦ
»μονογενοῦς υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ τοῦ
»ἁγίου πνεύματος, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν«.

»Ἐγκύκλιος ἐπιστολὴ γραφεῖσα παρὰ Εὐσεβίου ἐπισκόπου Καισαρείας τῆς ἐν »Παλαιστίνῃ.

»Τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν
»μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν εἰκὸς μὲν ὑμᾶς, 35 1
»ἀγαπητοί, καὶ ἄλλοθεν μεμαθηκέναι, τῆς φήμης προτρέχειν εἰωθυίας
»τὸν περὶ τῶν πραττομένων [πραγμάτων] ἀληθῆ λόγον. ἀλλ' ἵνα μὴ
»ἐκ τοιαύτης ἀκοῆς τὰ τῆς ἀληθείας ἑτεροίως ὑμῖν ἀπαγγέλληται,
»ἀναγκαίως διεπεμψάμεθα ὑμῖν πρῶτον μὲν τὴν ὑφ' ἡμῶν προτε-
»θεῖσαν περὶ τῆς πίστεως γραφήν, ἔπειτα δὲ τὴν δευτέραν, ἣν ταῖς
»ἡμετέραις φωναῖς προσθήκας ἐπιβαλόντες ἐκδεδώκασι. τὸ μὲν οὖν
»παρ' ἡμῶν γράμμα ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέως 2
»ἀναγνωσθὲν εὖ τε ἔχειν καὶ δοκίμως ἀποφανθὲν τοῦτον ἔχει τὸν
»τρόπον·

»Ἡ ὑφ' ἡμῶν ἐκτεθεῖσα πίστις. καθὼς παρελάβομεν παρὰ τῶν
»πρὸ ἡμῶν ἐπισκόπων καὶ ἐν τῇ πρώτῃ κατηχήσει καὶ ὅτε τὸ λουτρὸν 3
»ἐλαμβάνομεν καὶ καθὼς ἀπὸ τῶν θείων γραφῶν μεμαθήκαμεν καὶ
»ὡς ἐν τῷ πρεσβυτερίῳ ἐν αὐτῇ τῇ ἐπισκοπῇ ἐπιστεύομέν τε καὶ

14—S. **127, 26** vgl. Socr. I 8, 35—54 p. 48 ff. Athanas. (Montfaucon) I 238. Thdt. I 12 p. 48 ff

A¹H V¹P³ M²P¹P²

1 ὑμῖν corr. von 1. Hd. aus ἡμῖν A¹ **5** ἀποδέξασθαι M²P³ **8** τῇ > M² **9** περὶ] ὑπὲρ M²P¹P² **10** ἔχειν] ἄγειν P³ **11** διὰ] παρὰ P²V¹P³ **12** τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ~ V¹P³ **14** ἐπισκόπου > H **19** corr. nach Socr. Thdt. **20** ἡμῖν A¹ **21** ὑφ'] ἐφ' P³ **21 f** προτεθεῖσαν A¹P³ προταθεῖσαν HM²P¹P²V¹ Thdt. **23** ἐπιβάλλοντες A¹ ἐπιβαλλόντες (so!) V¹ (Thdt.-Überlieferung gespalten) **29** καὶ¹ > P² (vgl. Thdt.)

»ἐδιδάσκομεν, οὕτω καὶ νῦν πιστεύοντες τὴν ἡμετέραν πίστιν ὑμῖν »προαναφέρομεν. ἔστι δὲ αὕτη·

»Πιστεύομεν εἰς ἕνα θέον, πατέρα παντοκράτορα, τὸν τῶν 4
»ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν
»Χριστόν, τὸν τοῦ θεοῦ λόγον, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, ζωὴν
»ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων
»τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ
»πάντα, τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα καὶ ἐν ἀνθρώποις
»πολιτευσάμενον καὶ παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ
»ἀνελθόντα πρὸς τὸν πατέρα καὶ ἥξοντα πάλιν ἐν δόξῃ κρῖναι ζῶντας
»καὶ νεκρούς. πιστεύομεν καὶ εἰς ἓν πνεῦμα ἅγιον ἀληθῶς πνεῦμα
»ἅγιον, καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς 5
»ἑαυτοῦ μαθητὰς εἶπε· »πορευθέντες μαθητεύσατε πάντα τὰ
»ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ
»υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«, περὶ ὧν καὶ διαβεβαιούμεθα οὕ-
»τως ἔχειν καὶ οὕτω φρονεῖν καὶ πάλιν οὕτως ἐσχηκέναι καὶ μέχρι
»θανάτου ὑπὲρ ταύτης ἐνίστασθαι τῆς πίστεως, ἀναθεματίζοντες
»πᾶσαν ἄθεον αἵρεσιν· ταῦτα ἀπὸ καρδίας καὶ ψυχῆς πάντοτε πεφρο- 6
»νηκέναι, ἐξ οὗπερ ἴσμεν ἑαυτούς, καὶ νῦν φρονεῖν τε καὶ λέγειν ἐξ
»ἀληθείας ἐπὶ τοῦ θεοῦ τοῦ παντοκράτορος καὶ τοῦ κυρίου ἡμῶν
»Ἰησοῦ Χριστοῦ μαρτυρόμεθα, δεικνύναι ἔχοντες καὶ δι' ἀποδείξεων
»καὶ πείθειν ὑμᾶς, ὅτι καὶ τοὺς παρεληλυθότας χρόνους οὕτως ἐπι-
»στεύομέν τε καὶ ἐκηρύσσομεν.

»Ταύτης ὑφ' ἡμῶν ἐκτεθείσης τῆς πίστεως οὐδενὶ παρῆν ἀντι- 7
»λογίας τόπος. ἀλλ' αὐτός τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς
»ὀρθότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν οὕτω τε καὶ ἑαυτὸν φρονεῖν
»συνωμολόγησε, καὶ ταύτῃ τοὺς πάντας συγκατατίθεσθαι ὑπογράφειν
»τε τοῖς δόγμασι καὶ συμφωνεῖν τούτοις αὐτοῖς παρεκελεύετο, ἑνὸς

13 Matth. 28, 19

A¹H V¹P³ M²P¹P²

2 *προσαναφέρομεν* Socr. Thdt. 9 *ἡμέρᾳ* > P² 10 *καὶ* vor *ἥξοντα* nachträgl. eingefügt P² 11 *καὶ*² > H | *ἅγιον*¹ + *τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες, πατέρα ἀληθῶς πατέρα καὶ υἱὸν ἀληθῶς υἱὸν καὶ πνεῦμα ἅγιον* M²P¹P² nach Thdt. oder Socr. 16 *ἔχειν — οὕτως* > P³ | *πάλιν*] *πάλαι* Athan. Socr. cod. A 18 *πάντως* P³ *πάντα* Socr. > Thdt. 19 *ἴσμεν*] *ἴωμεν* V¹ *ἴωμεν*, aber am Rand von späterer Hd. *ἴσμεν* und von einer andern *ἔγνωμεν* P³ 21 *μαρτυρώμεθα* A¹ *μαρτυρούμεθα* H | *δι'*] *ἐξ* A¹ 22 *καὶ*¹ > A¹ 25 *τόπος*] *τύπος* H | *πρῶτος* > P²

»μόνου προσεγγραφέντος ῥήματος τοῦ ὁμοουσίου, ὃ καὶ αὐτὸ ἡρμή-
»νευσε, λέγων, ὅτι μὴ κατὰ τὰ τῶν σωμάτων πάθη λέγοιτο τῷ πατρὶ
»ὁμοούσιος οὔτε κατὰ διαίρεσιν οὔτε κατά τινα ἀποτομὴν ἐκ τοῦ
»πατρὸς ὑποστῆναι· μηδὲ γὰρ δύνασθαι τὴν ἄϋλον καὶ νοερὰν καὶ
»ἀσώματον φύσιν σωματικόν τι πάθος ὑφίστασθαι, θείοις δὲ καὶ
»ἀπορρήτοις λόγοις προσήκειν τὰ τοιαῦτα νοεῖν. καὶ ὁ μὲν σοφώτα-
»τος ἡμῶν καὶ εὐσεβέστατος βασιλεὺς τὰ τοιάδε ἐφιλοσόφει, οἱ δὲ
»προφάσει τῆς τοῦ ὁμοουσίου προσθήκης τήνδε τὴν γραφὴν πε-
»ποιήκασιν.

»Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.

»Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν 8
»τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν
»υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτ' ἔστιν ἐκ
»τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν
»ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί,
»δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ ἐν τῇ γῇ· τὸν δι'
»ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα
»καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα, ταφέντα καὶ ἀναστάντα
»τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι
»ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας »ἦν
»ποτε ὅτε οὐκ ἦν« καὶ »πρὶν γεννηθῆναι οὐκ ἦν« καὶ ὅτι »ἐξ οὐκ ὄν-
»των ἐγένετο« ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ
»κτιστὸν ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ ἀναθεματίζει ἡ
»ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία.

»Καὶ δὴ ταύτης τῆς γραφῆς ὑπ' αὐτῶν ὑπαγορευθείσης, ὅπως 9
»εἴρηται αὐτοῖς τὸ »ἐκ τῆς οὐσίας τοῦ πατρὸς« καὶ τὸ »τῷ πατρὶ
»ὁμοούσιον«, οὐκ ἀνεξέταστον αὐτοῖς κατελιμπάνομεν. ἐπερωτήσασι
»τοιγαροῦν καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνεκινοῦντο, ἐβασάνιζέ τε ὁ λόγος
»τὴν διάνοιαν τῶν εἰρημένων. καὶ δὴ τὸ »ἐκ τῆς οὐσίας τοῦ πατρὸς«

A¹H V¹P³ M²P¹P²

1f ἑρμήνευσε A¹ **2** *σωμάτων*] *ἀσωμάτων* H **3** vor *διαίρεσιν* ist *τὴν* zugefügt P² | *τοῦ* > H **5** *δὲ*] *τε* A¹ **6** *προσήκει* HM²P¹P² (Thdt. codd. AHN) **11** *πιστεύω* A¹H **16** *καὶ* + *τὰ* V¹P³ **21** *καὶ πρὶν — ἦν* > M²P¹P² | *γεννηθῆναι*] *γενέσθαι* V¹ **22f** *ἢ κτιστὸν* > H Thdt. **23** *τὸν τοῦ θεοῦ υἱὸν* ∾ M² **24** *καθολικὴ* + *ἁγία* HM²P¹P² **27** *κατελιμπάνομεν* A¹M²P¹P² (vgl. Thdt.) *καταλιμπάνομεν* HV¹ *καταλαμβάνομεν* P³ | *ἐπερωτήσεις* Athan. Socr. *ἐρωτήσεις* Thdt. **28** *καὶ βασανίζε* (= *βασανίζετο*), aber eine spätere Hd. hat ε vorgesetzt P³

»ὡμολογεῖτο πρὸς αὐτῶν δηλωτικὸν εἶναι τοῦ ἐκ μὲν τοῦ πατρὸς »εἶναι, οὐ μὴν ὡς μέρος ὑπάρχειν τοῦ πατρός. ταύτῃ δὲ καὶ ἡμῖν 10
»ἐδόκει καλῶς ἔχειν συγκατατίθεσθαι τῇ διανοίᾳ, τῆς εὐσεβοῦς δι-
»δασκαλίας ὑπαγορευούσης ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱόν, οὐ μὴν
»μέρος αὐτοῦ τῆς οὐσίας τυγχάνειν. διόπερ τῇ διανοίᾳ καὶ αὐτοὶ
»συνετιθέμεθα, οὐδὲ τὴν φωνὴν παραιτούμενοι, τοῦ τῆς εἰρήνης σκο-
»ποῦ πρὸ ὀφθαλμῶν ἡμῖν κειμένου καὶ τοῦ μὴ τῆς ὀρθῆς ἐκπεσεῖν
»διανοίας.

»Κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ »γεννηθέντα καὶ οὐ ποιηθέντα« κατε- 11
»δεξάμεθα. ἐπειδὴ τὸ ποιηθὲν κοινὸν ἔφασκον εἶναι πρόσρημα τῶν
»λοιπῶν κτισμάτων τῶν διὰ τοῦ υἱοῦ γενομένων, ὧν οὐδὲν ὅμοιον
»ἔχειν τὸν υἱόν. διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα τοῖς δι' αὐτοῦ γενο-
»μένοις ἐμφερές, κρεῖττονος δὲ ἢ κατὰ πᾶν ποίημα τυγχάνειν οὐσίας,
»ἣν ἐκ τοῦ πατρὸς γεγεννῆσθαι τὰ θεῖα διδάσκει λόγια, τοῦ τρόπου
»τῆς γεννήσεως ἀνεκφράστου καὶ ἀνεπιλογίστου πάσῃ γενητῇ φύσει
»τυγχάνοντος.

»Οὕτω δὲ καὶ τὸ ὁμοούσιον εἶναι τοῦ πατρὸς τὸν υἱὸν ἐξεταζό- 12
»μενος ὁ λόγος συνίστη, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον, οὐδὲ
»τοῖς ὑνητοῖς ξώοις παραπλησίως· οὔτε γὰρ κατὰ διαίρεσιν τῆς οὐ-
»σίας οὔτε κατὰ ἀποτομήν, ἀλλ' οὐδὲ κατά τι πάθος ἢ τροπὴν ἢ
»ἀλλοίωσιν τῆς τοῦ πατρὸς δυνάμεως. τούτων γὰρ πάντων ἀλλο-
»τρίαν εἶναι τὴν ἀγέννητον τοῦ πατρὸς φύσιν· παραστατικὸν δὲ εἶναι 13
»τὸ ὁμοούσιον τῷ πατρὶ τοῦ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γενητὰ
»κτίσματα τὸν υἱὸν τοῦ θεοῦ φέρειν, μόνῳ δὲ τῷ πατρὶ τῷ γεγεννη-
»κότι κατὰ πάντα τρόπον ἀφωμοιῶσθαι καὶ μὴ εἶναι ἐξ ἑτέρας τινὸς
»ὑποστάσεώς τε καὶ οὐσίας ἀλλ' ἐκ τοῦ πατρός. ᾧ καὶ αὐτὸ τοῦτον
»ἑρμηνευθέντι τὸν τρόπον καλῶς ἔχειν ἐφάνη συγκαταθέσθαι· ἐπεὶ
»καὶ τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγ-
»γραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεολογίας τῷ τοῦ
»ὁμοουσίου χρησαμένους ὀνόματι· ταῦτα μὲν οὖν περὶ τῆς ἐκτε- 14
»θείσης εἰρήσθω πίστεως ἣ συνεφωνήσαμεν οἱ πάντες οὐκ ἀνεξετά-

A¹H V¹P³ M²P¹P²

1 *μὲν* fehlt im Text, steht aber am Rand V¹ | *τοῦ*² > H **6** *συντιθέμεθα* HM²P¹P² Socr., Thdt.-HSS außer A **7** *ὀφθαλμοῦ* H **9** *καὶ*² > H **10** *τὸ* + *οὐ* H **13** *κρεῖττον* A¹ *κρείττων* H **15** *γεννητῇ* HM²P¹P² und die Mehrzahl der Thdt.-HSS **18** *συνίστησιν* M²P¹P² (die Thdt.-Überlieferung gespalten) **23** *τοῦ* corr. aus *τὸ* A¹ (vgl. Thdt.) *τὸ* d. übr. HSS | *γεννητὰ* M²P¹P² **25** *ἀφομοιῶσθαι* H *ἀφωμοιοῦσθαι* V¹P³ (vgl. Thdt.) **26** *αὐτῷ* H Socr., Thdt.-HSS außer L | *τοῦτο* M² **27** *συγκατατίθεσθαι* M²P¹P² Thdt.

»στως, ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας ἐπ᾽ αὐτοῦ τοῦ θεοφιλε-
»στάτου βασιλέως ἐξετασθείσας καὶ τοῖς εἰρημένοις λογισμοῖς συνομο-
»λογηθείσας.

»Καὶ τὸν ἀναθεματισμὸν δὲ τὸν μετὰ τὴν πίστιν πρὸς αὐτῶν 15
»ἐκτεθέντα ἄλυπον εἶναι ἡγησάμεθα διὰ τὸ ἀπείργειν ἀγράφοις χρῆσθαι
»φωναῖς, δι᾽ ἃς σχεδὸν ἡ πᾶσα γέγονε σύγχυσις καὶ ἀκαταστασία τῆς
»ἐκκλησίας. μηδεμιᾶς γοῦν θεοπνεύστου γραφῆς τῷ »ἐξ οὐκ ὄντων«
»καὶ τῷ »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις κεχρημέ-
»νης, οὐκ εὔλογον ἐφάνη ταῦτα λέγειν καὶ διδάσκειν. ᾧ καὶ αὐτῷ 16
»καλῶς δόξαντι συνεθέμεθα. ἐπεὶ μηδὲ ἐν τῷ πρὸ τούτου χρόνῳ
»τούτοις εἰώθαμεν συγχρῆσθαι τοῖς ῥήμασι.

»Ἔτι μὴν τὸ ἀναθεματίζεσθαι τὸ »πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν«
»οὐκ ἄτοπον ἐνομίσθη τῷ παρὰ πᾶσιν ὁμολογεῖσθαι εἶναι αὐτὸν υἱὸν
»τοῦ θεοῦ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. ἤδη δὲ ὁ θεοφιλέστα- 17
»τος ἡμῶν βασιλεὺς καὶ αὐτὸς τῷ λόγῳ κατεσκεύαζεν. ὡς καὶ κατὰ
»τὴν ἔνθεον αὐτοῦ γέννησιν τὴν πρὸ πάντων αἰώνων εἶναι αὐτόν.
»ἐπεὶ καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ πατρὶ ἀγεννή-
»τως, ὄντος τοῦ πατρὸς ἀεὶ πατρὸς ὡς καὶ βασιλέως ἀεὶ καὶ σωτῆρος
»ἀεὶ δυνάμει πάντα ὄντος. ἀεί τε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον-
»τος. ταῦτα ὑμῖν ἀναγκαίως διεπεμψάμεθα, ἀγαπητοί, τὸ κεκριμέ- 18
»νον τῆς ἡμετέρας ἐξετάσεώς τε καὶ συγκαταθέσεως φανερὸν ὑμῖν
»καθιστῶντες, καὶ ὡς εὐλόγως τότε μὲν καὶ μέχρις ὑστάτης ὥρας
»ἐνιστάμεθα, ὅτε ἡμῖν τὰ ἑτεροίως γραφέντα προσέκοπτε, τότε δὲ
»ἀφιλονείκως τὰ μὴ λυποῦντα κατεδεξάμεθα, ὅτε ἡμῖν εὐγνωμόνως
»τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν ἐφάνη συντρέχειν τοῖς ὑφ᾽ ἡμῶν
»αὐτῶν ἐν τῇ προεκτεθείσῃ πίστει ὡμολογημένοις.

A¹H V¹P³ M²P¹P²

2f *καὶ — συνομολογηθείσας* > A¹HP³ **5** *ἄλυπον* A¹HV¹P³ Athan. Socr. *ἄλυτον* M²P¹P² Socr. cod. T *δεκτὸν* Thdt. **7.** S *τῷ* A¹ corr. aus *τό, τὸ* HM²P¹P² V¹P³ **9** *αὐτῷ*] *αὐτὸς* A¹ **11** *συγχρησθῆναι* A¹H *χρῆσθαι* V¹ **13** *πᾶσιν*] *πάντων* A¹ **14** *θεοῦ* + *καὶ* H **16** Am Rand von späterer Hd. *ζήτησον περὶ τούτου, οὐ γὰρ δοκεῖ ἔχειν ὀρθῶς* M². Am Rand wohl sicher von 1. Hd. *ξ*ᴵᴵ. *ζήτει περὶ τούτου· οὐδὲ γὰρ δοκεῖ ἔχειν καλῶς* P². Entsprechende, nur längere und z. T. schwer lesbare Randbemerkungen dogmatischen Inhalts in A¹ und H **19** *πάντων* A¹ | *ὄντως* P² | *τὰ* nachträgl. von 2. Hd. eingefügt M² > V¹ *αὐτὰ*] *αὐτοῦ* P³ **20f** *κεκριμμένον* A¹ **21** *τε* > A¹ Thdt. SDL | *ὑμῖν*] *ἡμῖν* H **22** *τότε*] *ποτὲ* M² **23** *ἡμῖν*] *μὴν* H **23** *τὰ ἑτεροίως* — **24** *ἡμῖν* > V¹ | *τότε δὲ*] *τε καὶ* H **26** *ὡμολογησαμένοις* A¹ *ὁμολογησαμένοις* H

»Ἀσπαζόμεθα ὑμᾶς σὺν τῇ παρ᾽ ὑμῖν ἀδελφότητι. ἐρρῶσθαι ὑμᾶς »ἐν κυρίῳ εὐχόμεθα, ἀδελφοὶ τιμιώτατοι«.

»Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ λαοῖς.

»Τοὺς πονηροὺς καὶ ἀσεβεῖς μιμησάμενος Ἄρειος δίκαιός ἐστι **36** **1**
»τὴν αὐτὴν ἐκείνοις ὑπέχειν ἀτιμίαν. ὥσπερ τοίνυν Πορφύριος ὁ »τῆς θεοσεβείας ἐχθρὸς συντάγματα ἄττα παράνομα κατὰ τῆς θρη»σκείας συστησάμενος ἄξιον εὗρατο μισθόν, καὶ τοιοῦτον ὥστε ἐπο»νείδιστον μὲν αὐτὸν πρὸς τὸν ἑξῆς γενέσθαι χρόνον καὶ πλείστης »ἀναπλησθῆναι κακοδοξίας, ἀφανισθῆναι δὲ τὰ ἀσεβῆ αὐτοῦ συγγράμ»ματα, οὕτω καὶ νῦν ἔδοξεν Ἄρειόν τε καὶ τοὺς αὐτῷ ὁμογνώμονας »Πορφυριανοὺς μὲν καλεῖσθαι, ἵν᾽ ὥνπερ τοὺς τρόπους μεμίμηνται, »τούτων ἔχωσι καὶ τὴν προσηγορίαν· πρὸς δὲ τούτῳ καὶ εἴ τι σύγ»γραμμα ὑπὸ Ἀρείου συντεταγμένον εὑρίσκοιτο, τοῦτο πυρὶ παραδί»δοσθαι, ἵνα μὴ μόνον τὰ φαῦλα αὐτοῦ τῆς διδασκαλίας ἀφανισθείη, »ἀλλὰ μηδὲ ὑπόμνημα αὐτοῦ ὅλως ὑπολείποιτο. ἐκεῖνο μέντοι **2**
»προαγορεύω, ὡς εἴ τις σύγγραμμα ὑπὸ Ἀρείου συνταγὲν φωραθείη »κρύψας καὶ μὴ εὐθέως προσενεγκὼν καὶ πυρὶ καταναλώσας, τούτῳ »θάνατος ἔσται ζημία. παραχρῆμα γὰρ ἁλοὺς ἐπὶ τούτῳ κεφαλῆς »ὑποστήσεται τιμωρίαν. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί«.
Καὶ ἄλλας δὲ ἐπιστολὰς ὁ βασιλεὺς κατὰ Ἀρείου καὶ τῶν **3**
ὁμοδόξων αὐτοῦ πανηγυρικώτερον γράψας πανταχοῦ κατὰ πόλιν προέθηκεν.

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Ἀλεξανδρεῖς κατὰ Ἀρείου καὶ πρὸς πάντας ὀρθοδόξους.

»Κωνσταντῖνος Σεβαστὸς τῇ καθολικῇ Ἀλεξανδρέων καὶ πάντων **37** **1**
»τῶν ὀρθοδόξων ἐκκλησίᾳ· χαίρετε, ἀγαπητοὶ ἀδελφοί.

3—19 vgl. Socr. I 9, 30f p. 69 — **20—22** vgl. Socr. I 9, 64 p. 85 — **25—** S. **130**, **6** vgl. Socr. I 9, 17—25 p. 64. Der Brief ist auch in den Athanas.-HSS überliefert (vgl. Rh. Mus. LIX, 459). Die im Auftrag Justinians angefertigte lateinische Übersetzung liegt in Photographie nach cod. Paris. Lat. 1682 (= Lat.) vor

A¹H V¹P³ M²P¹P²

1 *ὑμῖν*] *ἡμῖν* H **3** *λαοῖς* A¹HM²P¹P² *λαϊκοῖς* V¹P³ **6** *θεοσεβείας*] *εὐσεβείας* M²P¹P² **9** *ἀφανισθῆναι*, aber davor kleine Rasur A¹ **10** *αὐτῷ* > H, steht nach *ὁμογνώμονας* M²P¹P² **11** *μὲν* nachträglich eingefügt P² **16** *συνταγὲν*] *συντεταγμένον* A¹ **18** *ἔσται* + *ἡ* P² **19** *διαφυλάξει* von späterer Hd. corr. in *διαφυλάξοι* A¹ *φυλάξει* V¹P³ **23f** Als Überschrift am Rand: *τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀλεξανδρεῖς* usw. H

»Τελείαν παρὰ τῆς θείας προνοίας εἰλήφαμεν χάριν, ἵνα πάσης »πλάνης ἀπαλλαγέντες μίαν καὶ τὴν αὐτὴν ἐπιγινώσκωμεν πί- »στιν. οὐδὲν λοιπὸν τῷ διαβόλῳ ἔξεστι καθ' ἡμῶν· πᾶν ὅτι 2 »δὰν κακοτεχνησάμενος ἐπεχείρησεν, ἐκ βάθρων ἀνῄρηται· τὰς διχονοίας »τὰ σχίσματα τοὺς θορύβους ἐκείνους καὶ τὰ τῶν διαφωνιῶν, ἵν' »οὕτως εἴπω, θανάσιμα φάρμακα ἡ τῆς ἀληθείας κατὰ θεοῦ κέλευσιν »ἐνίκησε λαμπρότης. ἕνα τοιγαροῦν ἅπαντες καὶ τῷ ὀνόματι προσκυ- »νοῦμεν καὶ εἶναι πεπιστεύκαμεν. ἵνα δὲ τοῦτο γένηται θελήσει 3 »θεοῦ συνεκάλεσα εἰς τὴν Νικαέων πόλιν τοὺς πλείστους τῶν ἐπισκό- »πων, μεθ' ὧν καὶ αὐτὸς ἐγὼ καθάπερ εἷς τις ἐξ ὑμῶν συνθεράπων »ὑμέτερος καθ' ὑπερβολὴν εἶναι χαίρων καὶ αὐτὸς τὴν τῆς ἀληθείας »ἐξέτασιν ἀνεδεξάμην. ἠλέγχθη γοῦν ἅπαντα καὶ ἀκριβῶς ἐξήτα- 4 »σται ὅσα ἀμφιβολίας καὶ διχονοίας προφάσεις ἐδόκει γεννᾶν, και »φεισάσθω ἡ θεία μεγαλειότης, ἡλίκα καὶ ὡς δεινὰ περὶ τοῦ ἡμετέρου »σωτῆρος, περὶ τῆς ἐλπίδος καὶ ζωῆς ἡμῶν ἀπρεπῶς ἐβλασφήμησάν »τινες, τἀναντία ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῇ ἀγίᾳ πίστει φθεγ- »γόμενοί τε καὶ πιστεύειν ὁμολογοῦντες.

»Τριακοσίων γοῦν καὶ πρός ἐπισκόπων ἐπὶ σωφροσύνῃ τε καὶ 5 »ἀγχινοίᾳ θαυμαζομένων μίαν καὶ τὴν αὐτὴν πίστιν, ἣ καὶ ταῖς ἀλη- »θείαις ἀκριβῆς τοῦ θείου νόμου πέφυκε πίστις, εἶναι βεβαιούντων, »μόνος Ἄρειος ἐφωράθη τῆς διαβολικῆς ἐνεργείας ἡττημένος καὶ τὸ »κακὸν τοῦτο πρῶτον μὲν παρ' ὑμῖν, ἔπειτα δὲ καὶ παρ' ἑτέροις ἀσε- »βεῖ γνώμῃ διασπείρας. ἀναδεξώμεθα τοιγαροῦν ἣν ὁ παντοκράτωρ 6 »θεὸς παρέσχε πίστιν, ἐπανέλθωμεν ἐπὶ τοὺς ἀγαπητοὺς ἡμῶν ἀδελ- »φούς, ὧν ἡμᾶς τοῦ διαβόλου ἀναιδής τις ὑπηρέτης ἐχώρισεν, ἐπαν- »ίωμεν ἐπὶ τὸ κοινὸν ἡμῶν σῶμα καὶ τὰ γνήσια ἡμῶν μέλη, σπουδῇ »πάσῃ ἴωμεν. τοῦτο γὰρ καὶ τῇ ἀγχινοίᾳ καὶ τῇ πίστει καὶ τῇ 7 »ὁσιότητι τῇ ὑμετέρᾳ πρέπει, ἵνα τῆς πλάνης ἐλεγχθείσης ἐκείνου, ὃν »καὶ τῆς ἀληθείας ἐχθρὸν εἶναι συνέστηκε, πρὸς τὴν θείαν ἐπανέλθητε »χάριν. ὃ γὰρ τοῖς ἁγίοις ἤρεσεν ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον ἢ 8 »μόνου τοῦ υἱοῦ τοῦ θεοῦ γνώμη, μάλιστα ὅπου γε καὶ τὸ ἅγιον »πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν ταῖς διανοίαις ἐγκείμενον

A¹H V¹P³ M²P¹P²

3 *καθ'*] *μεθ'* V¹P³ **5** *τὰ*²] > M² **6** *θεοῦ*] *κυρίου* H **7** *ἅπαντες* + *θεὸν* M²P¹P² **14** *ὡς δεινὰ*] *ὠδινὰ* H *ὅσα δεινὰ* M²P¹P² **18** *πρός* (adv.) A¹V¹P³ *πλειόνων* M²P¹P² Socr. pluribus Lat. *γοῦν καὶ πρός* > H **24** *ἀγαπητοὺς ἡμῶν* > P³ **26** *καὶ* + *ἐπὶ* M²P¹P² **27** *ἴωμεν*] *ἰάσωμεν*, am Rand von anderer Hd. ⁊ *καὶ ἴωμεν* A¹ **29** *ἐπανέλθητε*] *ἐπανέστηκε* P² **30** *τοῖς* + *τριακοσίοις* V¹P³ (Socr., wo aber *ἁγίοις* fehlt) *ἕτερόν ἐστιν* ∾ A¹

»τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω, μηδεὶς 9
»ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν
»ἐπανίητε, ἵν᾽ ἐπειδὰν ὅσον οὐδεπώποτε πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς
»ὀφειλομένας τῷ παντεφόρῳ θεῷ μεθ᾽ ὑμῶν ὁμολογήσω χάριτας,
»ὅτιπερ τὴν εἰλικρινῆ πίστιν ἐπιδείξας τὴν εὐκταίαν ἡμῖν ἀγάπην
»ἀποδέδωκεν. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί«.

᾽Επιστολὴ τοῦ βασιλέως Κωνσταντίνου, ἣν ἀπὸ τῆς Νικαέων ἀπέστειλε τοῖς ἀπολειφθεῖσι τῆς συνόδου ἐπισκόποις.

»*Κωνσταντῖνος Σεβαστὸς ἐκκλησίαις καὶ ἐπισκόποις τοῖς τῆς ἁγίας* 10
»καὶ μεγάλης ἐν Νικαίᾳ συνόδου ἀπολειφθεῖσι χαίρειν.
»Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνά-
»μεως πέφυκε χάρις, τοῦτον καὶ πρὸ πάντων ἔκρινα εἶναί μοι σκοπὸν προσ-
»ήκειν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλή-
»θεσι πίστις μία καὶ εἰλικρινὴς ἀγάπη ὁμογνώμων τε εὐσέβεια περὶ τὸν
»παντοκράτορα θεὸν τηρῆται. ἀλλ᾽ ἐπειδὴ τοῦτο ἑτέρως οὐχ οἷόν τε 11
»ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μή, εἰς ταυτὸν πάντων ὁμοῦ
»ἤγουν τῶν πλειόνων ἐπισκόπων συνελθόντων, ἑκάστου τῶν προση-
»κόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο, τούτου ἕνεκεν
»πλείστων ὅσων συναθροισθέντων ἐν ταύτῃ τῇ Νικαέων πόλει θεο-
»φιλεστάτων ἐπισκόπων (καὶ αὐτὸς δὲ ἐγὼ καθάπερ εἷς ἐξ ὑμῶν
»τυγχάνων συμπαρών, οὐ γὰρ ἀρνήσοιμι ἄν, ἐφ᾽ ᾧ μάλιστα χαίρω
»συνθεράπων ὑμέτερος πεφυκέναι) ἄχρι τοσούτου ἅπαντα τῆς προση-
»κούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ παντεφόρῳ θεῷ ἀρέ-
»σκουσα γνώμη πρὸς τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη, ὡς
»μηδὲν ἔτι πρὸς διχόνοιαν ἢ πίστεως ἀμφισβήτησιν [τι] ὑπολείπεσθαι.
»᾽Ενθα καὶ περὶ τῆς τοῦ πάσχα ἁγιωτάτης ἡμέρας γενομένης 12
»ζητήσεως, ἔδοξε κοινῇ γνώμῃ καλῶς ἔχειν ἐπὶ μιᾶς ἡμέρας ἅπαντας
»τοὺς ἁπανταχόσε Χριστιανοὺς τὴν σωτήριον ἑορτὴν ἐπιτελεῖν

9—S. **133, 24** vgl. Thdt. I 10 p. 42ff Eus. V. C. III, 17—20. Socr. I 9, 32—46 p. 70ff

A¹H V¹P³ M²P¹P²

3 *ἐπάνι///τε* A¹ (/// = Rasur), *ἐπάνιτε* (durch Rasur aus *ἐπάνττε*) M², P¹ *ἐπανίετε* P² | *ὑμᾶς*] *ἡμᾶς* P² **4** *παντενφόρῳ* M²P¹, durch Rasur corr. in *παντεφόρῳ* P² **5** *ὅτιπερ*] *ὅτι περὶ* P³ **6** *ἀπέδωκεν* HM²P¹P² | *φυλάξει* V¹P³ | *ἀγαπητοὶ ἀδελφοί* ∾ HM²P¹P² (Socr.) **7** *ἀπέστειλεν ἀπὸ τῆς Νικαέων* ∾ H *ἐπέστειλε* A¹M²P¹ **8** *τῇ συνόδῳ* V¹P³ **14** *τε*] *δὲ* P² **16** *ταυτὸ* P² **18** *ἁγιωτάτῃ*] *ἁγίᾳ* M²P¹P² | *τούτου*] *τούτων* P² **21** *ἀρνήσοιμι* A¹HV¹P³ *ἀρνησαίμην* M²P¹P² Eus. Socr. Thdt. **25** [*τι*] G. L. **27** *ἡμέρας* bis auf —ς auf Rasur P² **28** *ἑορτὴν* nachträgl. eingefügt P²

»τοῦ ἁγιωτάτου πάσχα. τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον
»ὑπάρξαι δυνήσεται τοῦ τὴν ἑορτὴν ταύτην, παρ' ἧς τὴν τῆς
»ἀληθείας εἰλήφαμεν ἐλπίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ
»πᾶσιν ἀδιαπτώτως φυλάττεσθαι; καὶ πρῶτον μὲν ἀνάξιον ἔδοξεν
»εἶναι τὸ τὴν ἁγιωτάτην ἑορτὴν ἐκείνην τῇ τῶν Ἰουδαίων ἑπομένους
»συνηθείᾳ πληροῦν, οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι
»χράναντες εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι γὰρ
»τοῦ ἐκείνων ἔθους ἀποβληθέντος ἀληθεστέρᾳ τάξει, ἣν ἐκ πρώτης
»τοῦ πάθους ἡμέρας μέχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς
»μέλλοντας αἰῶνας τὴν τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν ἐγγίνε-
»σθαι. μηδὲν τοίνυν ἔστω * ἡμῖν μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων 13
»ὄχλου. εἰλήφαμεν παρὰ τοῦ σωτῆρος ἑτέραν ὁδόν. πρόκειται δρό-
»μος τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ καὶ νόμος πρέπων. τούτου συμ-
»φώνως ἀντιλαμβανόμενοι, τῆς αἰσχρᾶς ἐκείνης συνειδήσεως ἑαυτοὺς
»ἀποσπάσωμεν, ἀδελφοὶ τιμιώτατοι. ἔστι γὰρ ἀληθῶς ἀτοπώτατον 14
»ἐκείνους αὐχεῖν καθ' ἡμῶν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας
»ταῦτα φυλάττειν οὐκ ἦμεν ἱκανοί. τί δὲ φρονεῖν ὀρθῶς ἐκεῖνοι
»δυνήσονται, οἳ μετὰ τὴν κυριοκτονίαν ἐκείνην ἐκστάντες τῶν φρε-
»νῶν ἄγονται [οὖν] οὐ λογισμῷ τινι ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅπου
»ἂν αὐτοὺς ἡ ἔμφυτος αὐτῶν ἀπάγοι μανία; ἐκεῖθεν τοίνυν καὶ ἐν
»τούτῳ τῷ μέρει τὴν ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς ἀεὶ κατὰ τὸ πλεῖστον
»αὐτοὺς πλανωμένους ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως ἐν τῷ
»αὐτῷ ἔτει δεύτερον αὐτοὺς τὸ πάσχα ἐπιτελεῖν. τίνος οὖν χάριν 15
»τούτοις ἑπόμεθα τοῖς δεινὴν πλάνην ὁμολογημένως ἔχουσι; δεύτερον
»γὰρ τὸ πάσχα ἐν ἑνὶ ἐνιαυτῷ οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ'
»εἰ καὶ ταῦτα μὴ προὔκειτο, τὴν ὑμετέραν ἀγχίνοιαν ἐχρῆν * πάντοτε

A¹H V¹P³ M²P¹P²

1 *τί δὲ*] *ἤ τι* A¹ . **2** *ἧς* + *καὶ* P² **3** *ἀληθείας*] *ἀθανασίας* Eus. Socr. Thdt. **6** *συνηθείᾳ* z. T. auf Rasur P² **8** *ἔθους* A¹HM²P¹P²P³ (in diesem von späterer Hd. corr. aus *ἔθνους*) wie Thdt. codd. SL Eus. cod. J *ἔθνους* nur V¹ wie die Mehrzahl der HSS des Eus. Socr. Thdt. (vgl. u. verb. Parmentiers Apparat) | *ἀληθέστερον* P³ **10** *ταύτην* A¹H *ταύτης* corr. aus *αὕτης* (so!) P² **11** *ἔστω* + *κοινὸν* M²P¹P² wie Eus. Socr. und einige Thdt.-HSS (s. u. 26) **14** *ἀντιλαμβανόμενος* H **17** *ἡμεν*] *ἴσμεν* V¹P³ *εἴημεν* Thdt. **19** *οὖν* > M²P¹P² **20** *μανία* + (19) *ἀλλ' ὁρμῇ* — (20) *αὐτῶν* aber von 1. Hd. durch Punkte getilgt P¹ **21** *πλεῖον* H **22** *πλανωμένους* > P² | *προσηκούσης* + *αὐτοῖς* M²P¹P² **24** *ἑπόμεθα*] *ἐσόμεθα* H **26** *ἡμετέραν* A¹M²P¹P²P³ | *ἐχρῆν* + *καὶ διὰ σπουδῆς καὶ δι' εὐχῆς ἔχειν* M²P¹P² = Eus. Socr. Thdt. > A¹HV¹P³ d. h. in der Vorlage des Gel. (s. a. S. 132, 7f), M²P¹P² sind interpoliert

»ἐν μηδενὸς ὁμοιότητι ἐκείνων τὸ καθαρὸν τῆς ὑμετέρας ψυχῆς κοινω-
»νεῖν δοκεῖν ἀνθρώπων αἰσθήσει παγκάκων.

»Πρὸς τούτοις κἀκεῖνο πάρεστι συνορᾶν, ὡς ἐν τηλικούτῳ πράγ- 16
»ματι καὶ τοιαύτης θρησκείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθέ-
»μιτον. μίαν γὰρ ἡμῖν τὴν τῆς ὑμετέρας ἐλευθερίας ἡμέραν, τοῦτ' 17
»ἔστι τοῦ ἁγιωτάτου πάθους, ὁ ἡμέτερος παρέδωκε σωτήρ, μίαν εἶναι
»τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βεβούληται· εἰ καὶ τὰ μάλιστα εἰς
»πολλούς τε καὶ διαφόρους τόπους τὰ μέλη συνάγοιτο, ἀλλ' ὅμως ἐν
»ἑνὶ πνεύματι, τοῦτ' ἔστι τῷ θείῳ βουλήματι, θάλπεται. λογισάσθω 18
»δὴ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ
»ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας ἑτέρους μὲν ταῖς νηστείαις σχολά-
»ζειν, ἑτέρους δὲ συμπόσια ἐπιτελεῖν καὶ μετὰ τὰς τοῦ πάσχα ἡμέρας
»ἄλλους μὲν ἐν ἑορταῖς καὶ ἀνέσεσιν ἐξετάζεσθαι, ἄλλους δὲ ταῖς
»ὡρισμέναις ἐκδίδοσθαι νηστείαις. διὰ τοῦτο γοῦν τῆς προσηκούσης
»ἐπανορθώσεως τυχεῖν καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο ἡ
»θεία πρόνοια βούλεται, ὡς ἔγωγε ἅπαντας ἡγοῦμαι συνορᾶν.

»Ὅθεν ἐπειδὴ τοῦτο οὕτως ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν 19
»μετὰ τῶν πατροκτόνων τε καὶ κυριοκτόνων ἐκείνων εἶναι ἡμῖν κοι-
»νόν, ἔστι δὲ τάξις εὐπρεπής, ἣν ἅπασαι αἱ τῶν δυτικῶν καὶ μεσημ-
»βρινῶν καὶ ἀρκτῴων τῆς οἰκουμένης μερῶν φυλάττουσιν ἐκκλησίαι,
»ἥν τινες τῶν κατὰ τὴν ἑῴαν τόπων οὐ προσίενται, ὧν ἕνεκεν ἐπὶ
»τοῦ παρόντος καλῶς ἔχειν ἅπαντες ἡγήσαντο καὶ αὐτὸς δὲ τῇ ὑμε-
»τέρᾳ ἀγχινοίᾳ ἀρέσκειν ὑπεσχόμην, ἵν' ὅπερ δὰν κατὰ τὴν Ῥωμαίων
»πόλιν Ἰταλίαν τε καὶ Ἀφρικὴν πᾶσαν Σπανίαν τε καὶ Γαλλίαν,
»Βρεττανίας Αἴγυπτόν τε καὶ Λιβύας Ἑλλάδα τε ὅλην Ἀσιανήν τε
»διοίκησιν καὶ Ποντικὴν καὶ Κιλικίαν μιᾷ καὶ τῇ αὐτῇ συμφώνῳ φυ-
»λάττεται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις,
»λογιζομένη ὡς οὐ μόνον πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρη-

A¹H V¹P³ M²P¹P² (bis Z. 6 *τοῦ*)

1 *ἡμετέρας* HSS **2** *δοκεῖ* P² Thdt. cod. AF | *αἰσθήσει* A¹HV¹P³ *ἤθεσι* P² *ἔθεσι* M²P¹ = Eus. Socr. Thdt. **5** *ἡμετέρας* > P² **6** *ἁγιωτάτου* — S. **133, 20** *ὠμότητα* > aber zwischen *τοῦ* und *ὑπὸ* ein / und am Rand von 1. Hd. *λειπει/*: P² **7** *βεβούληται* + *ἧς* M²P¹ = Eus. Socr. **8** *μέλη*] *μέρη* Eus. Socr. Thdt. | *συνάγοιτο*] *διήρηται* M²P¹ = Eus. Socr. Thdt. **9** *τῷ θείῳ* > V¹ **12** *ἐπιτελεῖν* corr. aus *τελεῖν* H **16** *ἔγωγε*] *ἔγω τε* M² **18** *ἐκείνων* > V¹ | *εἶναι* > A¹HV¹P³ | *ἡμῖν εἶναι* ∾ M²P¹ (vgl. Thdt.) **21** *οὐ προσίενται* Zusatz des Gel. **22f** *ἡμετέρᾳ* H **23** *ὑπεσχόμην ἀρέσκειν* ∾ M²P¹ | *ἵν'*] *ἣν* M²P¹ **24** *ἱσπανίαν* A¹ *σπανίαν* von späterer Hd. corr. in *ἱσπανίαν* P³ | *γαλλίαν* M² *γαλίαν* d. übr. HSS + *καὶ* A¹M²P¹ **25** *βρετανίας* A¹HV¹ *βρετανίαν* M²P¹ | *λι*[ ] A¹ *λιβύην* HM²P¹ **26** *συμφώνῳ* > H *συμφώνως* M²P¹

»μένους τόπους ἐκκλησιῶν ἀριθμός, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ »πάντας ὁσιώτατόν ἐστι βουλεύεσθαι, ὅπερ καὶ ὁ ἀκριβὴς λογισμὸς »ἀπαιτεῖν δοκεῖ, τὸ μηδεμίαν μετὰ τῆς Ἰουδαίων ἐπιορκίας σχεῖν κοι- »νωνίαν. ἵνα δὲ τὸ κεφαλαιωδέστατον συντόμως εἴπω, κοινῇ πάν- 20
5 »των ἥρεσε κρίσει τὴν ἁγιωτάτην τοῦ πάσχα ἑορτὴν μιᾷ καὶ τῇ αὐτῇ »ἡμέρᾳ συντελεῖσθαι· οὐδὲ γὰρ πρέπει ἐν τοσαύτῃ ἁγιότητι εἶναί τινα »διαφοράν, καὶ κάλλιον ἔπεσθαι τῇ γνώμῃ ταύτῃ ἐν ᾗ οὐδεμία ἐστὶν »ἀλλοτρίας πλάνης καὶ ἁμαρτήματος ἐπιμιξία.

»Τούτων οὕτως θείᾳ κρίσει διὰ τῶν τοσούτων καὶ τηλικούτων 21
10 »ἁγίων ἐπισκόπων διατυπωθέντων ἀσμένως δέχεσθε τὴν οὐράνιον »χάριν καὶ θείαν ὡς ἀληθῶς ἐντολήν. πᾶν γὰρ ὅ τι δὰν ἐν τοῖς »ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις ἐπράχθη, τοῦτο πρὸς τὴν θείαν »βούλησιν τὴν ἀναφορὰν ἔχει. διὸ πᾶσι τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελ- »φοῖς ἐμφανίσαντες τὰ προγεγραμμένα ἤδη καὶ τὸν προειρημένον τῆς
15 »καθολικῆς πίστεως λόγον καὶ τὴν παρατήρησιν τῆς ἁγιωτάτης τοῦ »πάσχα ἡμέρας ὑποδέχεσθαί τε καὶ διατάττειν ὀφείλετε, ἵν' ἐπειδὰν »πρὸς τὴν πάλαι μοι ποθουμένην τῆς ὑμετέρας διαθέσεως ὄψιν ἀφί- »κωμαι, ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὴν ἁγίαν μεθ' ὑμῶν ἑορτὴν ἐπι- 22
»τελέσαι δυνηθῶ καὶ πάντων ἕνεκεν μεθ' ὑμῶν εὐδοκήσω, συνορῶν
20 »τὴν διαβολικὴν ὠμότητα ὑπὸ τῆς θείας δυνάμεως διὰ τῶν ἡμετέρων »πράξεων ἀνῃρημένην, ἀκμαζούσης δὲ πανταχοῦ τῆς ἡμετέρας πίστεως »καὶ εἰρήνης καὶ ὁμονοίας, εὐχαριστηρίους ὕμνους μεθ' ὑμῶν ἀνα- »πέμψω τῷ πανευεργέτῃ καὶ σωτῆρι θεῷ. ὁ θεὸς ὑμᾶς διαφυλάξει, »ἀδελφοὶ ἀγαπητοί«.

25 Ταῦτα μὲν οὖν τοῖς ἀπολειφθεῖσι τῆς συνόδου ἐπέστειλε· τοὺς 23
δὲ συνεληλυθότας ἐφιλοφρονήσατο καὶ λόγοις καὶ δώροις, πολλὰς

25—S. **134, 12** vgl. Thdt. I 11, 1—2 p. 46f

A¹H V¹P³ M²P¹P² (von Z. **20** ὑπὸ an)

2 ὁσιώτατον M²P¹ Eus. Socr. Thdt. ὁσιωτάτους A¹HV¹P³ | βουλεύεσθαι corr. von 1. Hd. aus βούλεσθαι A¹ βουλεύσασθαι V¹ βούλεσθαι Eus. Socr. Thdt. **4** τὸ κεφαλαιωδέστατον HP¹M² (wo aber τον auf Rasur), τὸ κεφαλαιοδέστατον A¹ τῶ κεφαλαίω δεύτερον V¹ τὸ κεφαλαιωδέστερον P³ (vgl. Thdt.) **7** κάλλιον] κρεῖττον A¹ **9** Anders Eus. Socr. Thdt. **16** διατάττειν A¹H = Eus. Socr. Thdt. διαπράττειν d. übr. HSS **17** πρὸς > V¹P³ **18** αὐτῇ] αὐτοῦ P³ | ἡμῶν H | ἑορτὴν μεθ' ὑμῶν ∾ M²P¹ **20** ἡμετέρων] ὑμετέρων A¹ Eus. εἰρημένων M²P¹P² ἡμετέρων, aber von späterer Hd. corr. in ὑμετέρων P³ **21** δὲ und **22** εὐχαριστηρίους — **23** θεῷ > Eus. Socr. Thdt. **22** μεθ' ὑμῶν > V¹ **23** πανευεργέτῃ HM²P¹P² | διαφυλάξοι A¹ φυλάξει V¹ **24** ἀγαπητοὶ ἀδελφοί ∾ M²P¹P² | ἀδελφοί + μου A¹ **25** οὖν > P² Thdt. cod. A | ἀπέστειλε A¹

δὲ στιβάδας εὐτρεπισθῆναι κελεύσας, κατὰ ταὐτὸν ἐστίασεν ἅπαντας, τοὺς μὲν ἐπισημοτέρους ὁμοτραπέζους λαβών, τοὺς δὲ ἄλλους διελὼν εἰς τὰς ἄλλας τραπέζας. θεασάμενος δέ τινας τοὺς δεξιοὺς ὀφθαλ- 24
μοὺς οὐκ ἔχοντας, ἀλλ' ἐκκεκομμένους καὶ μαθὼν ὡς τὸ περὶ τὴν εὐσέβειαν τὴν εἰς Χριστὸν ἑδραῖον τοῦ πάθους ἐγένετο αἴτιον, τὰ χείλη τοῖς τραύμασι προσενηνοχὼς ἑλκύσειν ἐκεῖθεν τῷ φιλήματι τὴν εὐλογίαν ἐπίστευε, τέλος δὲ τοῦ συμποσίου λαβόντος ἕτερα πάλιν αὐτοῖς προσενήνοχε δῶρα. καὶ μέντοι καὶ γράμματα πρὸς τοὺς 25
τῶν ἐθνῶν προστατεύοντας δέδωκεν ἄρχοντας, καθ' ἑκάστην πόλιν χορηγεῖσθαι παρεγγυῶν ἀειπαρθένοις καὶ χήραις καὶ τοῖς τῇ θείᾳ λειτουργίᾳ ἀφιερωμένοις ἐτήσια σιτηρέσια, φιλοτιμίᾳ μᾶλλον ἢ χρείᾳ ταῦτα μετρήσας. περὶ ὧν καὶ Εὐσέβιος ὁ Παμφίλου διαλαμβάνων 26
ὧδέ πως λέγει· οὕτω δὴ τοὺς ἁγίους ἐπισκόπους μετὰ πλείστης ὅσης εὐλαβείας διαναπαύσας ὁ πανεύφημος καὶ πιστότατος βασιλεὺς Κωνσταν-
τῖνος συνταξάμενός τε σφᾶς ἐπανιέναι οἴκαδε τοὺς πάντας ἠφίει. οἱ δὲ ἐπανῆλθον σὺν εὐφροσύνῃ πολλῇ, ἐκράτει τε λοιπὸν μία γνώμη παρὰ τοῖς πᾶσι παρ' αὐτῷ βασιλεῖ συμφωνηθεῖσα, συναπτομένων ὥσπερ ἓν σῶμα τῶν ἐκ μακροῦ διηρημένων. χαίρων δῆτα ὁ βα- 27
σιλεὺς ἐπὶ τῷ κατορθώματι, τοῖς μὴ παρατυχοῦσι τῇ συνόδῳ ἐπι-
σκόποις καρπὸν εὐθαλῆ δι' ἐπιστολῶν ἐδωρεῖτο, λαοῖς τε πᾶσι τοῖς τε κατ' ἀγροὺς καὶ τοῖς ἀμφὶ τὰς πόλεις οἰκοῦσι χρημάτων ἀφθόνους διαδόσεις ποιεῖσθαι παρεκελεύετο, ὧδέ πη γεραίρων τὴν ἑορτὴν τῆς εἰκοσαετοῦς αὐτοῦ βασιλείας, ἐξκαιδεκάτῳ μὲν ἔτει καὶ μησὶν ἓξ τῆς 28
βασιλείας αὐτοῦ, καθὼς καὶ ἀνωτέρω ὁ λόγος ἀπέδειξε κατὰ τὰ παλαιὰ διηγήματα, τὴν ἁγίαν τῶν ἐπισκόπων συναθροίσας σύνοδον. εἰκοστῷ δὲ ἔτει διαλυσάντων τὸ τῆς συνόδου συνέδριον, ἀνέλυσεν ἕκαστος εἰς τὰς ἰδίας παροικίας, καθὼς προανατέτακται.

Ἐγὼ δὲ τὰ ἐν αὐτῇ τῇ ἁγίᾳ συνόδῳ περὶ τῆς καθολικῆς καὶ 29
ὀρθοδόξου πίστεως τῆς τε σεβασμίου ἑορτῆς τοῦ ἁγίου πάσχα τῶν

12 Gelasius citiert Eus. VC III 21 (am Ende), 22, benutzt aber 15—23 Thdt. I 13, 3f p. 55 als Vorlage — 24 vgl. S. 44, 5

A¹H V¹P³ M²P¹P²

1 ἐστίασεν A¹V¹P³ εἱστίασεν d. übr. HSS (vgl. Thdt.) 4 καὶ > P² 5 τοῦ πάθους ἑδραῖον ∾ A¹ 9 τῶν > M²P¹P² 11 φιλοτιμίας H 12 ταῦτα > M²P¹P² 16 ἐπανίεσαν H wie Thdt. A n | μία λοιπὸν ∾ A¹ 18 δῆτα] δὲ A¹ 19 τῷ] τῶν M² 21 τε > P² 21f διαδόσεις ἀφθόνους ∾ A¹ 24 καθὼς] καθὰ M²P¹P² 25 συναθροισθεῖσαν M²P¹P² 26 τῆς > M²P¹P² | ἕκαστος HM²P¹P² ἕκαστον d. übr. HSS 27 ἰδίας] οἰκείας M²P¹P² 28 αὐτῇ > P²

τε τῆς ἐκκλησιαστικῆς θείας λειτουργίας διατυπώσεων τῶν τε τῆς ἐν αὐτῇ εὐταξίας κανόνων κριθέντα καὶ ὁρισθέντα ἐντάξας κατὰ δύναμιν τῇδε τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, πρὸς πληρεστάτην ἀσφάλειαν τῶν ἐντευξομένων τῷδε τῷ συγγράμματι ἐνταῦθα καταπαύσω τὸν λόγον, τὰ λοιπὰ τοῦ πανευφήμου καὶ πιστοτάτου βασιλέως εὐσεβῆ ὑπὲρ τῆς πίστεως σπουδάσματα ἐν τρίτῳ κατατάξαι συνιδὼν συντάγματι, εἰς δόξαν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ καὶ εἰς ἐναργεστάτην ἀπόδειξιν τῆς τοῦ πιστοτάτου βασιλέως εὐσεβείας. Ἐκεῖνο μόνον προσθεῖναι ἐνταῦθα ἀναγκαῖον ᾠήθην (μὴ πάρεργον ἡγησάμενος, ἀλλὰ καὶ λίαν ἁρμόδιον)· τὰ τῶν ἐπισκόπων ὀνόματα τῶν ὑπὸ τοῦ κοινοῦ πάντων τῶν ἐπισκόπων εἰς τὰς ἁπανταχοῦ γῆς ἐπαρχίας σταλέντων, δι' ὧν τὰ ὑπὸ τῆς συνόδου κριθέντα διὰ συνοδικῶν ἐπιστολῶν καὶ τῶν τοῦ πανευφήμου βασιλέως γραμμάτων πάσαις διεπέμψατο ταῖς ὑπὸ τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις εἰς δόξαν τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν καὶ τοῦ ἁγίου πνεύματος. ἀμήν. 30 31

Κατάλογος τῶν ἁγίων ἐπισκόπων, δι' ὧν ἡ σὺν αὐτοῖς ἐν Νικαίᾳ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ταῖς ἀνὰ τὴν οἰκουμένην ἐκκλησίαις τοῦ θεοῦ διεπέμψατο τὰ ἐν αὐτῇ δι' αὐτῶν κεκριμένα ὑπὸ τοῦ ἁγίου πνεύματος.

38 1 Ὅσιος ἐπίσκοπος Κουρδούβης ταῖς κατὰ Ῥώμην καὶ Σπανίαν καὶ Ἰταλίαν πᾶσαν καὶ ταῖς ἐν τοῖς λοιποῖς ἔθνεσι τοῖς ἐπέκεινα κατ' ἐμὲ οὖσιν ἕως τοῦ Ὠκεανοῦ ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις διὰ τῶν σὺν αὐτῷ πρεσβυτέρων Ῥώμης Βίτωνος καὶ Βικεντίου.

2 Ἀλέξανδρος Ἀλεξανδρείας σὺν Ἀθανασίῳ τότε ἀρχιδιακόνῳ ὄντι ταῖς κατ' Αἴγυπτον πᾶσαν καὶ Λιβύην καὶ Πεντάπολιν καὶ τὰ ὅμορα τούτοις ἕως τῶν τῆς Ἰνδίας ἐπαρχιῶν.

20—S. **137**, **7** vgl. S. 104, 21—106, 6 (= Gel.[1])

A[1]H V[1]P[3] M[2]P[1]P[2]

2 *κριθέντων* A[1] **4** *συγγράμματι* H *γράμματι* d. übr. HSS **5** *εὐσεβῆ* > H **6** *σπουδάσματα*] *συγγράμματα* A[1] **9** *προσθῆναι* M[2]P[1]P[2]P[3] | *ἀναγκαῖον* > H **11** *γῆς* > H **13 f** *διεπέμψαντο* A[1] **17** *σὺν αὐτοῖς ἡ* ∾ A[1] **17 f** *καὶ οἰκουμενικὴ καὶ μεγάλη* ∾ HM[2]P[1]P[2] **18** *ταῖς ἐκκλησίαις* corr. a. *τῆς — ἐκκλησίας* A[1] *τῆς ἐκκλησίας* V[1]P[3] **19** *κεκριμμένα* A[1] **20** Vor *Ὅσιος* noch *ὁ* HM[2]P[1] | *κουρδούβης* A[1] *κορδούβης* M[2], über *κουρδούβης* von späterer Hd. *κορδού* P[3] | *ταῖς* A[1] *τῆς* HM[2]P[1]P[2]V[1]P[3] **20 f** *καὶ ἰταλίαν καὶ σπανίαν πᾶσαν* V[1]P[3] vor *σπανίαν* von späterer Hd. *ἰ* vorgesetzt P[3] **22** *οὖσι μέχρι* A[1] **25** *καὶ*[1] = Gel.[1]] > HSS, aber *λιβύην τε* H

Μακάριος Ἱεροσολύμων σὺν Εὐσεβίῳ τῷ Παμφίλου ἐπισκόπῳ 3
Καισαρείας ταῖς κατὰ Παλαιστίνην καὶ Ἀραβίαν καὶ Φοινίκην.

Εὐστάθιος Ἀντιοχείας τῆς μεγάλης ταῖς κατὰ Συρίαν κοίλην καὶ 4
Μεσοποταμίαν πᾶσαν καὶ Κιλικίαν ἑκατέραν.

Ἰωάννης Πέρσης ταῖς ἐν Περσίδι πάσῃ καὶ τῇ μεγάλῃ Ἰνδίᾳ. 5

Λεόντιος Καισαρείας Καππαδοκίας, τὸ τῆς ἐκκλησίας τοῦ κυρίου 6
καλλώπισμα, ταῖς κατ' αὐτὴν Καππαδοκίαν Γαλατίαν Πόντον Διοσ-
πόντου Παφλαγονίαν Πόντον Πολεμαϊκὸν Ἀρμενίαν μικρὰν καὶ
μεγάλην.

Θεωνᾶς Κυζίκου ταῖς κατὰ τὴν Ἀσίαν καὶ Ἑλλήσποντον Λυδίαν 7
τε καὶ Καρίαν διὰ τῶν ὑπ' αὐτὸν ἐπισκόπων Εὐτυχίου Σμύρνης καὶ
Μαρίνου Τρωάδος.

Ἀλέξανδρος Θεσσαλονίκης διὰ τῶν ὑπ' αὐτὸν τελούντων ταῖς 8
κατὰ Μακεδονίαν πρώτην καὶ δευτέραν σὺν ὅλῃ Ἑλλάδι τήν τε Εὐ-
ρώπην πᾶσαν Σκυθίαν ἑκατέραν καὶ ταῖς κατὰ τὸ Ἰλλυρικὸν ἁπά-
σαις Θεσσαλίαν τε καὶ Ἀχαΐαν.

Νουνέχιος Λαοδικείας ταῖς κατὰ τὴν Φρυγίαν πρώτην καὶ δευ- 9
τέραν.

Πρωτογένης ὁ θαυμάσιος πόλεως Σαρδικῆς ταῖς ἐν Δακίᾳ Καλα- 10
βρίᾳ Δαρδανίᾳ καὶ ταῖς ὁμόροις τούτοις.

Κεκιλιανὸς πόλεως Καρθαγένης ταῖς κατὰ πάσας τὰς ἐπαρχίας 11
τάς τε Ἀφρικὰς καὶ τὰς Νουμηδίας καὶ Μαυριτανίας ἀμφοτέρας οὔσαις
ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις.

Πιστὸς Μαρκιανουπόλεως ταῖς κατὰ τὴν Μυσίαν καὶ τὰ τῶν 12
Ἀθηνῶν καὶ Γάλλων ἔθνη καὶ ταῖς πλησιοχώροις τούτων πόλεσιν.

Ἀλέξανδρος Κωνσταντινουπόλεως τότε πρεσβύτερος ἔτι ὢν εἰς 13

A¹H V¹P³ M²P¹P²

1 *Μακάριος* an siebenter Stelle Gel.¹ **2. 3. 5. 19** *ταῖς*] *τῆς* HSS **2** *ἀραβίαν* HP¹M² **5** *ἰω̄ς* P³ **6** *λέοντος* aber d. Corrector am Rand *λεόντιος* P¹ **7f** *διοσπόντου* M²P¹P² | *πόντου παφλαγονίαν διοσπόντου* H **8** *πόντου πτολεμαϊκοῦ* A¹V¹P³ | *πολεμαϊκὸν* H | *ἀρμενίαν* + *πὸ* A¹ **10** *ἑλλήσποντον* A¹ *ἑλήσποντον* V¹ *ἑλλήσποντον* P³ **11** *αὐτῶν* P² **14** *ὅλῃ*]*τῇ* Gel.¹ **15** *κατὰ* + *φρυγίαν ᾱ καὶ β̄*, aber nachträglich wieder gestrichen und durch *τὸ* ersetzt H | *ἰλυρικὸν* P³ **17** *τὴν* > HM²P¹P² **19** *ταῖς* > P² **19f** *καλαυρίᾳ* A¹ *καλαβρίαν* V¹ *καλαβρ̄ι* P³ **20** *τοῖς* HM²P¹P² **21** *πόλεως* > Gel.¹ | *καθαγαίνης* A¹ *καθαργένης* M² (aber am Rand von späterer Hd. *καρθαγένης*), P¹V¹P³ *καρθαγένης* corr. aus *καθαργένης* P² **22** *ἀμφοτέραις* A¹ vgl. S. 105, 23 **25** *ἀθηνῶν* von späterer Hd. gestrichen P³ | *γάλων* HSS vgl. das zu S. 105, 26 Angemerkte **26** *κωνσταντινουπόλεως* + (24) *ταῖς κατὰ τὴν μυσίαν* — (26) *κωνσταντινουπόλεως* wiederholt A¹, + *ταῖς κατὰ τὴν μυσίαν* aber wieder gestrichen P²

ὕστερον δὲ καὶ τῆς ἐπισκοπικῆς ἱερατείας τῆς αὐτόθι ἐκκλησίας λαχὼν σὺν Παύλῳ ἔτι τότε ἀναγνώστῃ ὄντι καὶ νοταρίῳ αὐτοῦ ταῖς ἐν ταῖς νήσοις πάσαις Κυκλάσιν.

Οὗτοι πάντες οἱ ἅγιοι καὶ ἀποστολικοὶ ἄνδρες πάσαις ταῖς ὑπὸ 14
τὸν οὐρανὸν ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις τὰ ἐν τῇ Νικαέων ἁγίᾳ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ κεκριμένα διαπορθμεύσαντες, πανταχοῦ γῆς παρέδωκαν, καθὰ ἀρτίως ὁ λόγος ἀπέδειξεν.

A¹H V¹P³ M²P¹P² (bis Z. 3 *Κυκλάσιν*)

1 *τῆς ἐπισκοπῆς ἱερατείας* corr. in *τὴν ἐπισκοπὴν ἱερατείαν* A¹ **2 f** *ἐν ταῖς* > M²P¹P² **4 ff** und der Anfang des in der HS folgenden Briefes (= Bch. III 19) fehlen, doch sind anderthalb Seiten frei gelassen und am Rand steht von 1. Hd. *λειπ*/: P² **5** *ἁγίᾳ* + *καὶ* H **6** *οἰκουμένῃ* M² (aber am Rand von späterer Hd. *οἰκουμενικῇ*) | *κεκριμμένα* A¹ **7** *κατὰ* (aber von späterer Hd. corr. in *καθὰ*) M² | *καθὰ—ἀπέδειξεν* > Gel.¹ | *ἀρτίως*: d. h. S. 135, 10 ff | *ἀπέδειξεν* + *ἐπληρώθη λόγος β̄ τῆς ἐκκλησιαστικῆς ἱστορίας* A¹V¹P³ (in V¹P³ ist *δεύτερος* ausgeschrieben) + *τέλος τοῦ β̄ λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας* H

ΛΟΓΟΣ Γ̄

Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ λόγῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας·

α′ Περὶ τῶν μετὰ τὴν μεγάλην σύνοδον πραγματευθέντων.

β′ Περὶ τῆς ἀνενδότου τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου περὶ τὰ θεῖα σπουδῆς.

γ′ Ἐπιστολὴ τοῦ βασιλέως πρὸς Εὐσέβιον τὸν Παμφίλου περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομῆς.

δ′ Ἐπιστολὴ τοῦ αὐτοῦ περὶ τῆς τῶν ἱερῶν βίβλων κατασκευῆς.

ε′ Ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς Μακάριον ἐπίσκοπον Ἱεροσολύμων περὶ τοῦ σωτηρίου τάφου.

ϛ′ Περὶ τῆς ἐπὶ τὰ Ἱεροσόλυμα ὁδοιπορίας τῆς μακαρίας Ἑλένης.

ζ′ Περὶ τῆς εὑρέσεως τοῦ ἁγίου σταυροῦ τοῦ Χριστοῦ.

η′ Περὶ τοῦ φόρου τοῦ εὐσεβοῦς Κωνσταντίνου.

θ′ Περὶ τοῦ Φρουμεντίου καὶ Αἰδεσίου καὶ τῶν ἐν τῇ ἐνδοτάτῃ Ἰνδίᾳ.

ι′ Περὶ Ἰβήρων καὶ Λαζῶν καὶ τῆς ἐν αὐτοῖς αἰχμαλώτου ἁγίας γυναικός.

ια′ Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Σαβώριον τὸν τῶν Περσῶν βασιλέα περὶ τῆς τοῦ λαοῦ τοῦ θεοῦ προνοίας.

A²

1—S. 139, 24 Das dritte Buch des Gelasius ist nur in A², aber auch hier nicht vollständig überliefert. Der Capitelindex ist erhalten, die Capitelzahlen stehen innerhalb des Textes am Rand. Der Schreiber bricht nach *ιη′* ab und verweist durch ein Randzeichen auf den Brief *ιϑ′*, der in den HSS zusammen mit zwei weiteren Konstantinbriefen (s. Anhang) hinter Buch II folgt. Hingegen ist in A² hinter *ιη′* die Konstantinrede S. 46ff, die an ihrer Stelle in A¹ fehlt, nachgetragen. Die letzten drei im Index aufgeführten Capitel sind nirgends erhalten.

Die editio princeps des dritten Buches nach dem Ambrosianus gab Ceriani (Cer.) im ersten Band der Monumenta sacra et profana (1861) S. 129ff.

19 Mit *περὶ* fälschlich Anfang eines neuen Capitels bezeichnet A² corr. Cer.

ιβ′ Περὶ Κωνσταντίας τῆς ἀδελφῆς τοῦ πανευφήμου βασιλέως Κωνσταντίνου καὶ τοῦ παρατεθέντος αὐτῷ παρ᾽ αὐτῆς Ἀρειανοῦ πρεσβυτέρου.
ιγ′ Βιβλίον ἐπιπλάστου μετανοίας Εὐσεβίου τοῦ Νικομηδείας καὶ Θεογνίου Νικαίας.
ιδ′ Μέρος τῆς πρὸς Ἀθανάσιον ἐπιστολῆς τοῦ βασιλέως Κωνσταντίνου.
ιε′ Ἐπιστολὴ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου πρὸς Ἀλέξανδρον ἐπίσκοπον Ἀλεξανδρείας.
ις′ Τέλος ἐπιστολῆς τοῦ βασιλέως Κωνσταντίνου ὑπὲρ Ἀθανασίου γραφείσης τῇ ἐκκλησίᾳ Ἀλεξανδρέων.
ιζ′ Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τὴν ἐν Τύρῳ συναθροισθεῖσαν σύνοδον.
ιη′ Ἐπιστολὴ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου πρὸς τοὺς ἐν Τύρῳ ἀπὸ τῆς Αἰλίας ἀναζεύξαντας ἐπισκόπους.
ιθ′ Ἐπιστολὴ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου πρὸς Ἄρειον καὶ Ἀρειανούς.
κ′ Προσευχὴ τοῦ νικηφόρου καὶ θεοφιλοῦς βασιλέως Κωνσταντίνου περὶ τῆς αἰσχίστης τελευτῆς Ἀρείου.
κα′ Ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς Πίστον ἐπίσκοπον Μαρκιανουπόλεως.
κβ′ Ἄλλη ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τὸν αὐτὸν ἐπίσκοπον.

λόγος τῆς ἐκκλησιαστικῆς ἱστορίας τρίτος· τὰ μετὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ σπουδασθέντα τῷ εὐσεβεῖ βασιλεῖ Κωνσταντίνῳ.

A²

2 αὐτῇ (corr. aus αὐτῷ) παρ᾽ αὐτοῦ A², die Verbesserung nach der Überschrift im Text Cer. **10** γραφεῖσα A² corr. A. Mai **14** Αἰλίας corr. Cer.] Ἰταλίας A²

Τὸν μὲν πρῶτον καὶ δεύτερον λόγον τῆς ἐκκλησιαστικῆς ἱστορίας 1 1
καθεξῆς ὁ λόγος ἡμῖν ἐποιήσατο, ἀρξάμενος μὲν ἀπὸ τῶν ⟨πρώτων⟩
χρόνων τῆς βασιλείας τοῦ χριστοφόρου καὶ νικηφόρου [τοῦ] βασιλέως
Κωνσταντίνου, διοδεύσας δὲ τὰ πάντα, τὰ ἐν τῷ μέσῳ ἕως τοῦ παντὸς
συμπεράσματος τῆς πραγματείας τῆς κατὰ τὴν Νικαέων ἁγίας συνόδου
ὡς εἰκόνα τῶν γεγενημένων παρέστησε τῶν τε ἐκκλησιῶν τοῦ θεοῦ
τὴν ὑπὸ τῶν θεομισῶν τυράννων κινηθεῖσαν κατ᾽ αὐτῶν πολιορκίαν
τήν τε τῶν αὐτῶν ἀσεβῶν τυράννων αἰσχίστην καταστροφήν, καὶ 2
ὅπως ὁ τῆς ἐκκλησίας νυμφίος Χριστὸς τὸν αὐτοῦ ἄξιον θεράποντα
Κωνσταντῖνον τοῖς τοῦ τιμίου ⟨σταυροῦ⟩ αὐτοῦ ὅπλοις γενναιότατα
φράξας κατ᾽ αὐτῶν τῶν ἀσεβῶν ἐξεγήγερκε, καὶ ὡς τὰ τρόπαια τῆς 3
νίκης αὐτῷ κατ᾽ αὐτῶν τῶν τυράννων ἐχαρίσατο, πάντας αὐτοὺς
παγγενῆ κτείνας ὑπὸ τοῖς Κωνσταντίνου τοῦ θεοφιλεστάτου ποσί,
βαθεῖαν εἰρήνην ἄνωθεν δι᾽ αὐτῶν ταῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην
αὐτῶν ἐκκλησίαις πρυτανεύσας, καὶ τὴν μετὰ ταῦτα πάλιν κατ᾽ αὐ- 4
τῆς ὑπὸ τοῦ μισαγάθου ἐχθροῦ δαίμονος διὰ τοῦ παμμιάρου Ἀρείου
κινηθεῖσαν μηχανήν, καὶ ὡς αὐτοῦ ἕνεκα καὶ τῶν ἀσεβῶν αὐτοῦ 5
βλασφημιῶν, ὧν κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ ἐβλασφήμησεν, ἡ ἐν Νικαίᾳ
ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος ἐκ κελεύσεως τοῦ θεοῦ διὰ
τοῦ αὐτοῦ θεράποντος τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου
γεγένηται· τά τε ἐν αὐτῇ ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τῶν ἐκεῖσε 6
ἁγίων ἀρχιερέων τριακοσίων τὸν ἀριθμὸν ὀρθοδόξων ὑπὲρ τῆς
ἀποστολικῆς καὶ ὀρθοδόξου πίστεως πραγματευθέντα ὁ λόγος ἡμῖν
κατὰ δύναμιν Χριστοῦ τοῦ θεοῦ ἡμῶν χάριτι τρανῶς παρέδωκε.
Βαδιῶ δὲ ἐντεῦθεν ἑξῆς ἐπὶ τὴν τῆς βασιλικῆς εὐσεβείας διή- 7
γησιν, καὶ ὅπως ἄληκτον εἶχε τὴν ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ θεοῦ
μέριμναν.

Περὶ τῆς ἀνενδότου τοῦ βασιλέως περὶ τὰ θεῖα σπουδῆς.

Πολὺς καὶ ἄφατος ἐνῆν αὐτῷ ὁ περὶ τὸν χριστιανισμὸν πυρσὸς 2 1
πάντας ἄγειν καὶ τοὺς ἔξω ἐπὶ τὴν ἀληθῆ τοῦ θεοῦ τοῦ ζῶντος

22 vgl. S. 45, 9

A²

2 τῶν ⟨πρώτων⟩ Hei. 3 [τοῦ] Hei. 4 τὰ¹ wieder getilgt A² 10 corr. A. Mai

ἐπίγνωσιν. πᾶσι γὰρ τοῖς ὑπὸ τὴν Ῥωμαίων τελοῦσιν ἡγεμονίαν ἐπέστελλε δήμοις, τῆς μὲν προτέρας αὐτοὺς ἀπαλλαγῆναι ἀπάτης παρεγγυῶν, ἐπὶ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ διδασκαλίαν ἑαυτοὺς μεταθεῖναι προτρέπων καὶ ἐπὶ ταύτην ἅπαντας τὴν ἀλήθειαν ἀπιέναι παρεκάλει, ἀποστολικῷ μᾶλλον ἢ βασιλικῷ χρώμενος σκοπῷ. τοὺς 2
δὲ κατὰ πόλιν ἐπισκόπους ἐπὶ τὰς τῶν ἐκκλησιῶν οἰκοδομὰς διήγειρε, καὶ οὐ γράμμασι μόνοις ἐπὶ τοῦτο προτρέπων, ἀλλὰ καὶ χρήματα φιλοτίμως δωρούμενος καὶ τὰ τῆς οἰκοδομῆς δαπανήματα ἅπαντα χορηγῶν. δηλοῖ δὲ καὶ τὰ γραφέντα παρ' αὐτοῦ, τοῦτον ἔχοντα τὸν τρόπον·

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Εὐσέβιον τὸν Παμφίλου περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομῆς.

»*Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ.* 3 1
»Ἕως τοῦ παρόντος χρόνου τῆς ἀνοσίου βουλήσεως καὶ τυραννίδος »διωκούσης τοὺς τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ὑπηρέτας πεπίστευκα »καὶ ἀκριβῶς ἐμαυτὸν πέπεικα πασῶν τῶν ἐκκλησιῶν τοὺς θείους »οἴκους ἢ ὑπὸ ἀμελείας διεφθάρθαι ἢ φόβῳ τῆς ἐπικειμένης ἀδικίας »ἐλάττονας τῆς ἀξίας γεγενῆσθαι, ἀδελφὲ προσφιλέστατε· νυνὶ δὲ τῆς 2
»ἐλευθερίας ἀποδοθείσης καὶ τοῦ δράκοντος ἐκείνου ἀπὸ τῆς τῶν »κοινῶν διοικήσεως τῇ τοῦ παντουργοῦ θεοῦ προνοίᾳ ἡμετέρᾳ δὲ »ὑπηρεσίᾳ διωχθέντος, ἡγοῦμαι πᾶσι φανερὰν γεγενῆσθαι τὴν θείαν »δύναμιν καὶ τοὺς ἢ φόβῳ ἢ ἀπιστίᾳ ἢ ἁμαρτήμασί τισι περιπεσόντας »ἐπιγνόντας τε τὸν ὄντως ὄντα θεὸν ἥξειν ἐπὶ τὴν ἀληθῆ καὶ ὀρθὴν »πίστιν καὶ κατάστασιν τοῦ βίου. ὅσων τοίνυν ἢ αὐτὸς προίστασαι 3
»ἐκκλησιῶν ἢ ἄλλους τοὺς κατὰ τόπον προϊσταμένους ἐπισκόπους »πρεσβυτέρους τε ἢ διακόνους οἶσθα, ὑπόμνησον σπουδάζειν περὶ τὰ »ἔργα τῆς οἰκοδομίας τῶν ἐκκλησιῶν, ἢ ἐπανορθοῦσθαι τὰ ὄντα ἢ καὶ »εἰς μείζονα αὔξειν ἢ ἔνθα ἂν ἡ χρεία ἀπαιτῇ καινὰ ποιεῖν. αἰ- 4
»τήσεις δὲ καὶ αὐτὸς καὶ διὰ σοῦ οἱ λοιποὶ τὰ ἀναγκαῖα παρά τε τῶν »ἡγεμονευόντων καὶ τῆς ἐπαρχικῆς τάξεως. τούτοις γὰρ ἐπεστάλη »πάσῃ σπουδῇ ἐξυπηρετήσασθαι τοῖς ὑπὸ τῆς σῆς ὁσιότητος λεγομέ»νοις. ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ«.

1—S. **145**, **7** vgl. Thdt. I 14, 12 p. 58, 17—I 18, 1 p. 64, 3

A²

14 *βουλήσεως* Thdt.] *βουλίδος* A² **20** *παντουργοῦ* A² (*κράτορος*) **22** nach *ἁμαρτήμασι* ist *μασι* wiederholt, aber von 1. Hd. gestrichen A² **26** *πρεσβυτέρους τε ἢ διακόνους*=Thdt.] *πρεσβυτέρων τε ἢ διακόνων* A² **32** *διαφυλάξει* corr. in *διαφυλάξαι* A²

Ταῦτα μὲν οὖν περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομίας πρός τε τὸν 5
αὐτὸν Εὐσέβιον τὸν Παμφίλου καὶ τοὺς καθ' ἑκάστην ἐπαρχίαν προ-
στατεύοντας ἐπισκόπους ἐπέστελλεν. ὁποῖα δὲ καὶ περὶ τῆς τῶν 6
ἱερῶν βιβλίων κατασκευῆς πρὸς τὸν αὐτὸν Εὐσέβιον τὸν Παλαιστινὸν
ἔγραψεν, ἐξ αὐτῶν τῶν γραμμάτων καταμαθεῖν εὐχερές.

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου περὶ τῆς τῶν ἱερῶν κατασκευῆς βιβλίων.

»*Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ ἐπισκόπῳ.* 4 1
»*Κατὰ τὴν ἐπώνυμον ἡμῶν πόλιν, θεοῦ συναιρομένης προνοίας,*
»*μέγιστον πλῆθος ἀνθρώπων τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἑαυτοῦ ὁ Χριστὸς*
»*ἀνατέθεικεν, ὡς πάντων ἐκεῖσε πολλὴν λαμβανόντων τὴν αὔξησιν*
»*σφόδρα ἄξιον ἡμῖν καταφαίνεσθαι καὶ ἐκκλησίας ἐν αὐτῇ κατασκευα-*
»*σθῆναι πλείους. τοιγάρτοι δέδεξο προθυμότατα τὸ δόξαν τῇ ἡμε-* 2
»*τέρᾳ προαιρέσει. πρέπον τοῦτο κατεφάνη ἡμῖν δηλῶσαι τῇ σῇ συ-*
»*νέσει, ὅπως ἂν πεντήκοντα σωμάτια ἐν διφθέραις ἐγκατασκεύοις*
»*εὐανάγνωστά τε καὶ πρὸς τὴν χρῆσιν εὐπαρακόμιστα ὑπὸ τεχνικῶν*
»*καλλιγράφων καὶ ἀκριβῶς τὴν τέχνην ἐπισταμένων γραφῆναι κελεύ-*
»*σειας, τῶν θείων μάλιστα, ὧν τήν τε ἐπισκευὴν καὶ τὴν χρῆσιν τῷ*
»*τῆς ἐκκλησίας λόγῳ ἀναγκαίαν εἶναι γινώσκεις. ἀπέσταλται δὲ* 3
»*γράμματα παρὰ τῆς ἡμετέρας ἡμερότητος πρὸς τὸν τῆς διοικήσεως*
»*καθολικόν, ὅπως ἅπαντα τὰ πρὸς τὴν ἐπισκευὴν αὐτῶν ἐπιτήδεια*
»*παρασχεῖν φροντίσῃ. ἵνα γὰρ ὡς τάχιστα τὰ γραφέντα σωμάτια* 4
»*κατασκευασθείη, τῆς σῆς ἐπιμελείας ἔργον τοῦτο γενήσεται, καὶ γὰρ*
»*δύο δημοσίων ὀχημάτων ἐξουσίαν εἰς διακομιδὴν ἐκ τῆς αὐθεντίας*
»*τοῦ γράμματος ἡμῶν λαβεῖν σε προσήκει. οὕτω γὰρ ἂν μάλιστα τὰ* 5
»*καλῶς γραφέντα καὶ μέχρι τῶν ἡμετέρων ὄψεων ῥᾷστα διακομισθείη,*
»*ἑνὸς δηλαδὴ τοῦτο πληροῦντος τῶν ἐκ τῆς σῆς ἐκκλησίας διακόνων,*
»*ὃς ἐπειδὰν ἀφίκοιτο πρὸς ἡμᾶς, τῆς ἡμετέρας πειραθήσεται φιλαν-*
»*θρωπίας. ὁ θεὸς διαφυλάξει σε, ἀδελφὲ ἀγαπητέ*«.

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τεκμηριῶσαι, μᾶλλον δὲ διδάξαι σαφῶς, 6
ὅπως ὁ πανεύφημος βασιλεύς, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, πᾶσαν εἰς
τὰ θεῖα μετατέθεικε τὴν σπουδήν.
Προσθήσω δὲ ὅμως τοῖς εἰρημένοις τὰ περὶ τὸν σωτήριον αὐτῷ 7
τάφον κατωρθωμένα. μαθὼν γὰρ ὡς οἱ κορυβαντιῶντες καὶ περὶ

30 vgl. S. 140, 28 ff

A²

5 *γραμμάτων* Thdt. *πραγμάτων* A² 8 *πόλιν* am Rand nachgetragen A² 9 *ὁ* von späterer Hd. A² 11 *καταφαίνεσθαι* Thdt.] *καταφαίνεται* A² 14 *σωμάτια* von 1. Hd. corr. aus *σωματεῖα* A² 15 *τεχνικῶν* vom Korrektor beanstandet A² *τεχνιτῶν* Thdt. 17 *θείων* + *γραφῶν* Thdt. 24 *τὰ* > A² vgl. Thdt. 28 von 1. Hd. *διαφυλάξειεν*, von 2. Hd. *εν* getilgt und *σε* übergeschrieben A² 32 *αὐτῷ* von 2. Hd. aus *αὐτοῦ* A²

τὴν τῶν εἰδώλων θεραπείαν βεβακχευμένοι τὸν μὲν δεσποτικὸν τοῦ κυρίου κατέχωσαν τάφον, λήθῃ παραδοῦναι φιλονεικοῦντες τῆς τῶν ἀνθρώπων σωτηρίας τὴν μνήμην, ἐπὶ τούτῳ δὲ τῆς ἀκολάστου δαίμονος Ἀφροδίτης ἐδομήσαντο οἶκον, καταλυθῆναι μὲν δὴ ὡς τάχιστα τὸ μυσαρὸν ἐκεῖνο προσέταξεν οἰκοδόμημα ὁ πιστότατος βασιλεύς, τὸν δὲ χοῦν ἐκεῖνον τὸν ἐναγέσι μολυνθέντα θυσίαις ἐκφορηθῆναι καὶ πόρρω που ῥιφῆναι τοῦ ἄστεος, εἶτα ναὸν τοῦ σωτῆρος ἡμῶν θεοῦ οἰκοδομηθῆναι μέγιστον καὶ κάλλιστον προστάττει. δηλοῖ δὲ ταῦτα σαφέστερον ἡ τοῦ θεοφιλεστάτου βασιλέως ἐπιστολή, ἣν πρὸς τὸν πρόεδρον τῆς ἐκκλησίας ἐκείνης, τῆς ἐν Ἱεροσολύμοις λέγω, ἐπέστειλε. Μακάριος δὲ ἦν τότε, οὗ καὶ ἔμπροσθεν ἐμνήσθημεν, ὃς καὶ τῇ μεγάλῃ τῇ κατὰ Νίκαιαν κεκοινωνήκει συνόδῳ καὶ τὴν τῆς Ἀρείου σὺν τοῖς ἄλλοις βλασφημίας κατέλυσε φλόγα.

Ἐπιστολὴ Κωνσταντίνου τοῦ εὐσεβοῦς βασιλέως τῷ ⟨ἐπισκόπῳ⟩ Ἱεροσολύμων περὶ τοῦ σωτηρίου τάφου.

»Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Μακαρίῳ ἐπισκόπῳ 5 1
»Ἱεροσολύμων.

»Τοσαύτη τοῦ σωτῆρος ἡμῶν ἡ χάρις, ὡς μηδεμίαν λόγων χορη»γίαν ἀξίαν τοῦ παρόντος οἶμαι θαύματος δοκεῖν. τὸ γὰρ γνώρισμα »τοῦ ἁγιωτάτου ἐκείνου τάφου ὑπὸ γῆν πάλαι κρυπτόμενον τοσαύταις »ἐτῶν περιόδοις οὐ λαθεῖν δεδύνηται, ἄχρις οὗ διὰ τῆς τοῦ σωτῆρος »ἡμῶν θεοῦ χάριτος ἡ τοῦ κοινοῦ πάντων ἡμῶν ἐχθροῦ τυραννὶς »ἀνῃρέθη· ἦστινος τυραννίδος τοῖς ἑαυτοῦ θεράπουσιν ὁ παμβασιλεὺς »Χριστὸς τὴν ἐλευθερίαν παρασχὼν τὴν τοῦ ἁγιωτάτου τόπου γνῶσιν »κατέλαμψεν, ὡς ἀληθῶς πᾶσαν ἔκπληξιν ὑπερβαίνειν. εἰ γὰρ πάν- 2
»τες οἱ διὰ πάσης τῆς οἰκουμένης εἶναι δοκοῦντες σοφοὶ εἰς ἓν καὶ τὸ »αὐτὸ συνελθόντες ἄξιόν τι τοῦ πράγματος τούτου ἐθέλουσιν εἰπεῖν, »οὐδὲ κἂν πρὸς τὸ βραχύτατον ἁμιλληθῆναι δυνήσονται, ἐπείπερ το»σοῦτον πᾶσαν ἀνθρωπίνην λογισμοῦ χωρητικὴν φύσιν ἡ τοῦ θαύματος »τούτου πίστις ὑπερβαίνει, ὅσον τῶν ἀνθρωπίνων τὰ οὐράνια δυνα»τώτερα εἶναι συνέστηκε. διὰ τοῦτο γοῦν οὗτος ἀεὶ καὶ πρῶτος 3
»καὶ μόνος ἐστί μοι σκοπός, ἵν' ὥσπερ ἑαυτὴν ὁσημέραι καινοτέροις »θαύμασιν ἡ τῆς ἀληθείας πίστις ἐπιδείκνυσιν, οὕτως καὶ αἱ ψυχαὶ »πάντων ἡμῶν περὶ τὸν ἅγιον νόμον σωφροσύνῃ καὶ ὁμογνώμονι »προθυμίᾳ σπουδαιότεραι γένωνται. ὅθεν ἐπειδὴ πᾶσι φανερὸν εἶναι 4
»νομίζω, ἐκεῖνο μάλιστα πεπεῖσθαί σε βούλομαι, ὡς ἄρα μοι πάντων »μᾶλλον μέλει τὸν ἱερὸν ἐκεῖνον τόπον, ὃν θεοῦ προστάγματι αἰσχί»στης εἰδώλου πλάνης ὥσπερ τινὸς ἐπικειμένου βάρους κουφισθῆναι »προσέταξα, ἅγιον μὲν ἐξ ἀρχῆς θεοῦ κρίσει γεγενημένον, ἁγιώτερον

14 corr. Ltz.

»δὲ ἀποφανθέντα, ἀφ᾽ οὗ τὴν τοῦ σωτηρίου πάθους πίστιν εἰς φῶς »προήγαγε, τοῦτον κάλλει οἰκοδομημάτων κοσμῆσαι.

»Προσήκει τοίνυν τὴν σὴν ἀγχίνοιαν οὕτως διατάξαι τε καὶ ἑκά- 5
»στου τῶν ἀναγκαίων ποιήσασθαι πρόνοιαν, ὡς οὐ μόνον τὴν βασι-
5 »λικὴν τοῦ αὐτοῦ ἁγιωτάτου τόπου τῶν ἁπανταχοῦ βελτίονα γενέσθαι,
»ἀλλὰ καὶ τὰ λοιπὰ τοιαῦτα ἀναδειχθῆναι, ὡς πάντα τὰ ἐφ᾽ ἑκάστης
»πόλεως καλλιστεύοντα ὑπὸ τῆς τοῦ κτίσματος τούτου νικᾶσθαι λαμ-
»πρότητος. καὶ περὶ τῆς τῶν τοίχων ἐγέρσεώς τε καὶ καλλιεργίας 6
»Δρακιλιανῷ τῷ ἡμετέρῳ φίλῳ τῷ διέποντι μέρη τῶν λαμπροτάτων
10 »ἐπαρχιῶν καὶ τῷ τῆς ἐπαρχίας ἄρχοντι ἐγκεχειρίσθαι παρ᾽ ἡμῶν τὴν
»φροντίδα γίνωσκε. κεκέλευσται γὰρ ὑπὸ τῆς ἐμῆς εὐσεβείας τεχνί-
»τας τε καὶ ἐργάτας καὶ πάντα ὅσα περὶ τὴν οἰκοδομὴν ἀναγκαῖα
»τυγχάνει, ἃ παρὰ τῆς σῆς καταμάθοιεν ἀγχινοίας, παραχρῆμα διὰ
»τῆς ἐκείνων προνοίας ἀποσταλῆναι. περὶ δὲ τῶν κιόνων ἢ τῶν 7
15 »μαρμάρων, ἃ δᾶν νομίσειας εἶναι χρησιμώτερά τε καὶ τιμιώτερα,
»συνόψεως γενομένης πρὸς ἡμᾶς γράψαι σπούδασον, ἵνα ὅσων δᾶν
»καὶ ὁποίων χρείαν διὰ τοῦ σοῦ γράμματος ἐπιγνῶμεν, ταῦτα παντα-
»χόθεν μετενεχθῆναι πρὸς τὴν τοῦ αὐτοῦ οἴκου λαμπρότητα δυνηθῇ·
»τὸν γὰρ τοῦ κόσμου θαυμασιώτερον τόπον κατ᾽ ἀξίαν φαιδρύνεσθαι
20 »δίκαιον.

»Τὴν δὲ τῆς βασιλικῆς τοῦ αὐτοῦ οἴκου καμάραν, πότερον λακω- 8
»ναρίαν ἢ διά τινος ἑτέρας φαιδροτάτης ἐργασίας δοκεῖ γενέσθαι, παρὰ
»σοῦ γνῶναι βούλομαι. εἰ γὰρ λακωναρία μέλλοι εἶναι, δυνήσεται καὶ
»χρυσῷ καλλωπισθῆναι τὸ λειπόμενον. καὶ περὶ τούτων ἡ σὴ ὁσιό-
25 »της τοῖς προειρημένοις δικασταῖς τὸ τάχος γνωρισθῆναι ποιήσει, ὅσων
»τε καὶ ἐργατῶν καὶ τεχνιτῶν καὶ ἀναλωμάτων χρεία· ἅτινα καὶ πρὸς
»ἐμὲ εὐθέως ἀνενεγκεῖν σπούδασον, οὐ μόνον περὶ τῶν μαρμάρων
»καὶ κιόνων, ἀλλὰ καὶ περὶ τῶν λακωναριῶν, εἴ γε τοῦτο κάλλιον
»ἐπικρίνειας. ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ«.

30 *Περὶ τῆς εἰς τὰ Ἱεροσόλυμα ὁδοιπορίας τῆς μακαρίας Ἑλένης.*

Τούτοις τοῖς γράμμασιν οὐκ ἄλλος τις διηκόνησεν ἀλλ᾽ αὐτοῦ 61
τοῦ βασιλέως ἡ μήτηρ, ἡ καλλίπαις ἐκείνη καὶ παρὰ πάντων τῶν
εὐσεβῶν ᾀδομένη, ἡ τὸν μέγαν τοῦτον φωστῆρα τῇ οἰκουμένῃ τεκοῦσα

33 vgl. Gen. 1, 16

A²

9 λαμπροτάτων] λαματάτων A² **16** συνοψίσεως A² **29** διαφυλάξαι corr. aus διαφυλάξει A²

καὶ τὴν τῆς εὐσεβείας αὐτῷ ἐκ παιδόθεν προσενεγκοῦσα τροφήν (οὐχ ἧττον γὰρ καὶ αὐτὴ τοῦ τοῦ παιδὸς πατρός, ἑαυτῆς δὲ ἀνδρὸς Κωνσταντίου τοῖς θείοις αὐτὸν τῆς εἰς Χριστὸν εὐσεβείας ἀνεθρέψατο νόμοις)· αὕτη τῶν τῆς ὁδοιπορίας ἀνασχομένη πόνων καὶ τοῦ γήρως 2
οὐ λογισαμένη τὰ πάθη — πρὸ γὰρ ὀλίγου τῆς τελευτῆς ἑαυτῆς τὴν ἀποδημίαν ταύτην ἐστείλατο, ὀγδοηκοντοῦτις γὰρ τοῦδε τοῦ βίου τὸ τέρμα κατείληφεν.

Περὶ τῆς εὑρέσεως τοῦ ἁγίου σταυροῦ τοῦ Χριστοῦ.

Ἐπιθυμητῶς γοῦν ἔχουσα καὶ πυρὸς δίκην ἐκκαιομένη τῇ καρδίᾳ 7 1
τῆς τῶν ἁγίων τόπων καταλήψεως ἕνεκα καὶ τῆς τε τοῦ σωτηρίου πάθους καὶ τῆς τοῦ τιμίου ξύλου τοῦ τοῦ Χριστοῦ σταυροῦ ἀναζητήσεως φθάνει τὰ Ἱεροσόλυμα. ἐπειδὴ δὲ τὸ χωρίον εἶδεν ἐκεῖνο, 2
τὸ τῆς κοινῆς σωτηρίας τὰ πάθη δεξάμενον, εὐθὺς μὲν τὸν μυσαρὸν ἐκεῖνον ναὸν καταλυθῆναι εἰς ἔδαφος καὶ τὸν χοῦν ἐκεῖνον τὸν ἐναγῆ πόρρω που ἐκριφῆναι προσέταξε. δήλου δὲ τοῦ κεκρυμμένου τόπου γεγενημένου, ὤφθησαν παρὰ τὸ δεσποτικὸν μνῆμα τρεῖς κατακεχωσμένοι σταυροί. καὶ ὅτι μὲν εἷς ἐκ τούτων ὁ τοῦ δεσπότου καὶ σω- 3
τῆρος ἡμῶν ἐτύγχανεν ὤν, οἱ δὲ ἕτεροι τῶν σὺν αὐτῷ προσηλωθέντων λῃστῶν, ἀναμφισβητήτως ἐπίστευον ἅπαντες· ἠγνόουν δὲ ὅμως τὸν τῷ δεσποτικῷ ἐκείνῳ καὶ ἁγίῳ πελάσαντα σώματι καὶ τοῦ τιμίου αἵματος τὴν λιβάδα δεξάμενον.

Ἀλλ' ὁ σοφώτατος ἐκεῖνος καὶ θεῖος ὄντως Μακάριος, ὁ τῆς ἐκ- 4
κλησίας ἐκείνης πρόεδρος, τοιῷδε πόρῳ τὴν ἀπορίαν διέλυσε. γυναικὶ περιφανεστάτῃ τῆς ἐκεῖσε πόλεως, νόσῳ κατεχομένῃ μακρᾷ καὶ ὁρώσῃ πρὸς θάνατον τὰ ξύλα προσενεχθῆναι σκοπήσας, ἔγνω τοῦ σωτηρίου σταυροῦ τὴν δύναμιν, τοιῷδε προσευχῇ πρὸς τὸν θεὸν χρησάμενος· 5
κλίνας τὰ γόνατα πρὸς τὸ τοῦ γυναίου σκιμπόδιον, φωνῇ μεγάλῃ ἐβόησε, συνούσης αὐτῷ καὶ τῆς θεοφιλεστάτης Ἑλένης καὶ πλήθους ἀνθρώπων πολλῶν· »σύ, δέσποτα θεὲ παντοκράτορ, ὁ διὰ τοῦ μονογενοῦς σου παιδὸς Ἰησοῦ Χριστοῦ τῷ τῶν ἀνθρώπων γένει τὴν σωτηρίαν ἐν τῷ τοῦ σταυροῦ ξύλῳ ἐργασάμενος, ὁ καὶ νῦν ἐπ' ἐσχάτων τῶν χρόνων τῇ σῇ θεραπαινίδι ἐμπνεύσας σὺν τῷ ταύτης παιδί, σῷ δὲ θεράποντι, ἐπιζητῆσαι τὸ μακάριον ξύλον, ἐν ᾧ ὁ σωτὴρ πάν-

12—26 vgl. Thdt. I 18, 2—4 p. 64, 3—17 — **26—S. 146, 21** vgl. Rufin X 7 a. E. und 8 p. 970, 7ff

A²

2f *Κωνσταντίνου* A² **6** *γὰρ* A²] *δὲ* Thdt. **15** *τόπου* A²] *τάφου* Thdt. **23** nach *γυναικὶ* + *γὰρ* von späterer Hd. A² **32** von späterer Hd. *θεραπαίνῃ* A²

των ἀνθρώπων, μάλιστα πιστῶν, Χριστὸς καθηλώθη σαρκί, ἀνάδειξον ἡμῖν, κύριε, ποῖον ἐκ τούτων τῶν τριῶν ξύλων ἐστὶν ὁ σταυρὸς τοῦ Χριστοῦ, ὃς διὰ τῆς προσφαύσεως αὐτοῦ τῆς δι' ἡμῶν γινομένης ἐπὶ ταύτην τὴν ἀσθενῆ καὶ ἡμιθανῆ πρὸς ὑγείαν αὐτῆς καὶ ἐξανάστασιν χειραγωγὸς γένηται«. ὡς δὲ ἐπαύσατο προσευξάμενος, προσφέρει 6
τὸ πρῶτον ξύλον καὶ ἐπιτίθησιν ἐπὶ τὴν ἀσθενῆ· ἀλλ' οὐδὲν αὐτὴν ὤνησεν. εἶτα προσάγει καὶ τὸ δεύτερον· ἀλλὰ καὶ αὐτὸ ἄπρακτον ἐδείχθη. ὅτε δὲ ἐξέτεινε τὴν χεῖρα ἐπὶ τὸ τρίτον, αὖθις τῇ σκιάσει τὸ ξύλον τῇ ἀσθενεῖ προσήγγισε καὶ θαῦμα μέγιστον γέγονεν. ἄφνω γὰρ ἡ ἡμιθανὴς τοὺς ὀφθαλμοὺς διήνοιξεν· εἶτα ἐπιταθέντος αὐτῇ τοῦ τιμίου καὶ δεσποτικοῦ σταυροῦ, εὐθέως ἀνεπήδησε, καὶ στᾶσα ἐπὶ τοὺς πόδας τῷ θεῷ δόξαν ἀνέπεμπε, τοσούτῳ κρείσσων ἑαυτῆς γενομένη, καὶ πάντα τὸν οἶκον περιπορευομένη χαίρουσά τε πανοικὶ μεγαλοφώνως εὐηγγελίζετο τοῦ θείου σταυροῦ τὴν δύναμιν.

Οὕτως ἡ εὐσεβεστάτη βασίλισσα, ἡ τοῦ πανευφήμου καὶ θεοφι- 7
λεστάτου βασιλέως Κωνσταντίνου μήτηρ, εἰλικρινῶς ἐπιστήσασα τὸν νοῦν καὶ πιστωθεῖσα περί τε τοῦ σωτηρίου τάφου καὶ τοῦ τιμίου σταυροῦ τοῦ Χριστοῦ, εὐκτήριον οἶκον εὐθέως ἐν αὐτῷ τῷ τόπῳ ἐγείρει κατὰ τὰς τοῦ εὐσεβεστάτου παιδὸς Κωνσταντίνου προστάξεις, καὶ μαρτύριον αὐτὸν προσαγορεύσασα, εἰσέτι μᾶλλον καὶ μᾶλλον τῇ πίστει προέκοπτε.

Διόπερ τοῦ ποθουμένου τυχοῦσα, λοιπὸν καὶ περὶ τὴν τῶν ἥλων 8
ἀναζήτησιν ἀδιστάκτως ἑαυτὴν ἐπιδίδωσιν, ἐν οἷς τὸ κυριακὸν σῶμα ἐν τῷ τοῦ σταυροῦ ξύλῳ καθήλωτο. καὶ εὑροῦσα τὰ μὲν εἰς τὸ βασιλικὸν ἐνέβαλε κράνος, τῆς τοῦ παιδὸς προμηθουμένη κεφαλῆς, ἵνα τὰ τῶν πολεμίων ἀποκρούηται βέλη· ὅπερ κράνος ἅτε θεῖον δῶρον πρὸς τὸν υἱὸν μετεκόμισε. τὰ δὲ λοιπὰ τῶν ἥλων τῷ τοῦ βασιλικοῦ ἵππου χαλκεύσασα ἀνέμιξε χαλινῷ, ἀσφάλειαν μὲν μηχανωμένη τῷ βασιλεῖ, καὶ παλαιᾷ προφητείᾳ πέρας ἐπιθήσασα. πόρρωθεν γὰρ Ζαχαρίας ὁ προφήτης ἐβόα· »καὶ ἔσται τὸ ἐπὶ τοῦ χαλινοῦ ἅγιον τῷ κυρίῳ παντοκράτορι«. τοῦ δὲ σωτηρίου σταυροῦ μοῖραν 9
μέν τινα τοῖς βασιλείοις ἀπένεμε· τῷ δὲ λοιπῷ θήκην ἐξ ὕλης ἀργυρᾶς ποιησαμένη τῷ τῆς πόλεως ἐκείνης δέδωκεν ἐπισκόπῳ, τῷ θείῳ ἐκείνῳ Μακαρίῳ, οὗπερ καὶ ἀνωτέρω ἐμνήσθημεν, φυλάττειν παρεγγυήσασα ταῖς μετέπειτα γενεαῖς τὰ τῆς σωτηρίας μνημόσυνα. πάντοθεν δὲ παντοδαπῆς ὕλης τεχνίτας ἀγείρασα ἅμα Μα- 10
καρίῳ τῷ τῆς ἐκεῖσε ἐκκλησίας προέδρῳ κατὰ τὰ ὑπὸ τοῦ βασιλέως τοῦ ταύτης υἱοῦ Κωνσταντίνου προσταχθέντα τοὺς μεγίστους ἐκεί-

22—S. **147**, **5** vgl. Thdt. I 18, 5—7 p. 64f — **30** Zachar. 14, 20 — **34** s. S. 143, 11 A^2

29 *παλαιᾷ* Thdt.] *πάλαι δὲ* A^2

νους καὶ λαμπροτάτους ναοὺς θαυμασίως ᾠκοδόμησεν, ὧν τὸ κάλλος καὶ τὸ μέγεθος περιττὸν ἄγαν ὑπείληφα ἐντάξαι τῷδε τῷ γράμματι. πάντων ὡς ἔπος εἰπεῖν τῶν φιλοχρίστων τῶν ἐκ πάσης τῆς ὑπὸ τὸν οὐρανὸν ἐκεῖσε συρρεόντων καὶ θεωμένων τῶν ἔργων τὴν πολυτέλειαν.

Ἐποίησε δὲ καὶ ἕτερον μνήμης ἄξιον ἡ πανεύφημος ἐκείνη καὶ 11
ἀξιάγαστος βασίλισσα, ἡ τοῦ πιστοτάτου βασιλέως μήτηρ. τὰς γὰρ διὰ βίου τὴν παρθενίαν ἀσκούσας συναγείρασα πάσας καὶ ἐπὶ στιβάδων πολλῶν κατακλίνασα, αὐτὴ δι' ἑαυτῆς θεραπαινίδος ἔργον ἐπλήρου, διακονοῦσα αὐταῖς καὶ ὄψα παρατιθεῖσα καὶ κύλικας ὀρέγουσα καὶ οἰνοχοοῦσα καὶ πρόχοον ἐπὶ λέβητος φέρουσα καὶ ὕδωρ ταῖς ἐκείνων χερσὶν ἐπιχέουσα.

Ταῦτα καὶ τὰ τούτοις ὅμοια δράσασα ἐπανῆλθε μὲν πρὸς τὸν 12
παῖδα χαίρουσα. μετ' οὐ πολὺ δὲ μετ' εὐθυμίας ἁπάσης εἰς τὸν ἀνώλεθρον μετέστη βίον, πλεῖστα τῷ παιδὶ περὶ τῆς εὐσεβοῦς πολιτείας ἐντειλαμένη καὶ ταῖς ἐξιτηρίοις αὐτὸν στεφανώσασα εὐλογίαις. ἐκείνη μὲν οὖν καὶ μετὰ τὴν τελευτὴν τιμῆς τετύχηκεν, ὁποίας τυχεῖν ἐχρῆν τὴν οὕτως ἐπιμελῶς καὶ θερμῶς τὸν τῶν ὅλων θεραπεύσασαν θεόν. θυγατέρα δὲ καταλέλοιπεν ὀνόματι Κωνσταντίαν 13
τὴν τοῦ ἀσεβοῦς Λικιννίου γενομένην γυναῖκα.

Καὶ ταῦτα μὲν περὶ τῆς μακαριωτάτης καὶ εὐσεβεστάτης καὶ 14
θεοφιλεστάτης Ἑλένης, σμικρὰ ἐκ τῶν πολλῶν αὐτῆς καὶ μεγάλων ἀρετῶν κατὰ θεὸν τὸν σωτῆρα ἡμῶν, τῷδε τῷ ἱστορικῷ παρατέθεικα γράμματι.

Περὶ τοῦ φόρου τοῦ βασιλέως Κωνσταντίνου.

Ἀλλὰ πάλιν ἐπὶ τὸν θεῖον τοῦ χριστοφόρου βασιλέως τοῦ ταύτης 8
υἱοῦ Κωνσταντίνου ζῆλον τρέψω τὸν λόγον, ὅστις τοσοῦτον ὑπερανέβη τὸν πατρῷον καὶ μητρῷον περὶ τὸν τοῦ Χριστοῦ σωτήριον ζῆλον, ὥστε τὸ παρὰ τῆς μητρὸς ἐνεχθὲν αὐτῷ τοῦ δεσπότου Χριστοῦ κατὰ σάρκα πάθους σωτηρίου σταυροῦ σύμβολον, πιστεύσας ὡς ἀεὶ σωθήσεται ἡ πόλις ἡ ἐπώνυμος αὐτῷ, ἐὰν ἐκεῖνο ἐν αὐτῇ φυλάττηται, κατέκρυψεν αὐτό, ἐνθεὶς τῷ ἑαυτοῦ ἀνδριάντι τῷ ἐν τῇ ἐπιλεγομένῃ ἀγορᾷ ἤτοι φόρῳ Κωνσταντίνου καὶ ἐπὶ τοῦ πορφυροῦ καὶ μεγάλου κίονος ἱδρυμένῳ.

6—19 vgl. Thdt. I 18, 8f p. 65 — **19f** vgl. Rufin X 12 p. 976. Socr. I 25 p. 136. Thdt. II 3 p. 96 — **29—34** vgl. Socr. I 17, 8 p. 106f; vgl. auch S. 12, 18ff

A²

4 τὸν aus τῶν A² | καὶ Thdt.] > A²

Περὶ Φρουμεντίου καὶ Αἰδεσίου καὶ τῶν ἐν τῇ ἐνδοτάτῃ Ἰνδίᾳ.

Ὁ μὲν οὖν θεοφιλέστατος βασιλεὺς εὐσεβείᾳ τε καὶ πίστει τοιαύτῃ 9 1
πρὸς τὸν θεὸν συνεσφιγμένος, πάμπολλα καὶ ἄλλα βάρβαρα ἔθνη εἰς
εἰρήνην τὴν πρὸς αὐτὸν ἐλθεῖν παρεσκεύασε, τοῦ θεοῦ αὐτῷ ταῦτα
καθυποτάξαντος πολλὰ πάλαι Ῥωμαίοις διαστασιάσαντα. ὅσον γὰρ
ἑαυτὸν δι' εὐλαβείας τῷ θεῷ ἐταπείνουτο, τοσοῦτον μᾶλλον δὲ πολλῷ
πλεῖον αὐτῷ ὁ θεὸς πάντα κατηύθυνε. κατὰ δὲ τὸν καιρὸν ἐκεῖ- 2
νον πολλαὶ προσθῆκαι τοῖς ἀποστολικοῖς ἐγίνοντο κηρύγμασιν. εἰ
γὰρ καὶ Ματθαῖος Πάρθοις ἐκήρυξε καὶ Βαρθολομαῖος Αἰθίοψι καὶ
Θωμᾶς τοῖς τῆς μεγάλης Ἰνδίας Ἰνδοῖς, ἀλλὰ τοῖς πόρρω Ἰνδοῖς Πάρ-
θων καί τισιν ἔθνεσι πλησιοχώροις αὐτῶν οὔπω ἦν ὁ περὶ Χριστοῦ
λόγος γνώριμος. γίνεται οὖν πρὸς ἀπομίμησιν Μητροδώρου φιλο- 3
σόφου τινός, ἐκπεριυοστήσαντος πάντα σχεδὸν τὰ ἔθνη ἱστορίας ἕνεκα,
Μερόπιον τοὔνομα τινὰ ἄνδρα Τύριον, ἐν φιλοσόφοις ἐπίσημον, τὴν
αὐτὴν τοῦ Μητροδώρου ἱστορίας χάριν ὑπεισελθεῖν πραγματείαν, ὃς
ἐπήγετο παῖδας συμφυεῖς δύο, μεμνημένους μὲν εἰς ἄγαν πᾶσαν τὴν τῶν
πραγμάτων παιδείαν, σπουδὴν δὲ ἔχοντας ⟨εἰς⟩ ἱστορίας ἁπάσης φιλο-
μάθειαν, παρακαλέσαντας αὐτὸν τὸν φιλόσοφον Μερόπιον μεθ' ἑαυτοῦ
αὐτοὺς παραλαβεῖν· ὧν ὁ μὲν εἷς Φρουμέντιος τοὔνομα, ὁ δὲ ἕτερος
Αἰδέσιος. ἐπειδὴ δὲ ἔθος καὶ νόμος ἦν τοῖς ἐκεῖσε βαρβάροις τοὺς 4
σπονδαῖς τῆς εἰρήνης τῆς πρὸς αὐτοὺς μὴ στοιχοῦντας Ῥωμαίους τοὺς
ἀφ' ἡμῶν παρ' αὐτοῖς εὑρισκομένους ἀναιρεῖν, συνέβη καὶ τότε κατὰ
κράτος λελύσθαι τὰς σπονδὰς ἑκατέρων, ἐν ᾧ καιρῷ ὁ Μερόπιος τὴν
ἐνδοτάτην Ἰνδίαν ἱστόρησεν ἅμα Φρουμεντίῳ καὶ Αἰδεσίῳ. στερεω- 5
θέντες γοῦν τῇ τῶν ἀναγκαίων λήψει, μάλιστα ὕδατος, ἀπάραντες
ἐκ τῆς χώρας καὶ τῇ θαλάσσῃ προσπλέοντες, προσορμίζονται τοῖς
κατὰ τοὺς Ἰνδοὺς ἐκείνους τοὺς ἐνδοτάτους διαφέρουσι τόποις, μὴ
δυνηθέντες προβῆναι ἀνέμων ἐναντιότητι κωλυθέντες. καὶ δὴ ἐπὶ
ἡμέρας τινὰς λαθάνοντες ἦσαν ἐκεῖσε, ἐκ τῆς αὐτόθι γῆς ποριζό-
μενοι τὰς χρείας τοῦ σώματος. ἐν μιᾷ δὲ τῶν ἡμερῶν ⟨τῶν⟩ παίδων 6
ὑπό τι δένδρον ἐπαδολεσχούντων ἀναγνώσμασιν, ἐπιστάντες οἱ βάρ-
βαροι κατέσφαξαν σὺν τῷ Μεροπίῳ ἅπαντας πλὴν τῶν προρρηθέν-
των παίδων Φρουμεντίου καὶ Αἰδεσίου, οὓς ἰδόντες καὶ εἰς οἶκτον
ἐλθόντες ὡς ἅτε παίδων ἐφείσαντο, καὶ δῶρον αὐτοὺς τῷ οἰκείῳ
βασιλεῖ προσήγαγον· ὧν εὐθὺς τὸν Φρουμέντιον, αἰσθόμενος αὐτοῦ

2—7 vgl. Rufin X 8 p. 971 Z. 5ff — 8—S. 150, 22 vgl. Rufin X 9f p. 971ff (erweitert)

A²

6 ἑαυτῷ A² *se deo subiecerat Rufin* 17 corr. Hei. 28 ἐναντιότητι an dem Wort ist mehrfach herumcorrigiert A² 30 corr. Holl

τῆς εὐφυίας ὁ βασιλεὺς ἐπίτροπον αὐτοῦ καθίστα ἐπὶ τοῖς οἴκοι γινο-
μένοις ἀναλώμασι. τὸν δὲ Αἰδέσιον οἰνοχοεῖν αὐτῷ διετύπωσεν. ἐν 7
τούτοις ὄντων αὐτῶν καὶ προκοπτόντων αὐτῶν ὁσημέραι γίνεται
τὸν βασιλέα τὸν ἀνθρώπινον ὑπεξελθεῖν βίον, ἀφέντα υἱὸν κομιδῇ
νήπιον, τῆς οἰκείας βασιλείας διάδοχον νεύματι τοῦ μεγάλου τῶν
Ἰνδῶν βασιλέως. γίνονται τοίνυν οἱ περὶ Φρουμέντιον ἐφεξῆς 8
πάσης τῆς βασιλείας τοῦ παιδὸς ἐπίτροποι, τῆς μητρὸς αὐτοῦ πάντων
αὐτοὺς προθεμένης τὴν ἐξουσίαν ἔχειν διὰ τρόπων γνησιότητα καὶ
πεῖραν πραγμάτων βιωτικῶν. εἶχον γὰρ σὺν τῇ φύσει καὶ γνῶσιν,
προτριβέντες μάλιστα παιδείᾳ τε καὶ ξενιτείᾳ, δι' ὧν μάλιστα καὶ
τοῖς νέοις κατάστασις πρεσβυτέρων προσγίνεται. ἐπειδὴ τοίνυν 9
ἦσαν καὶ εὐσεβεῖς, πίστει τε τῇ πρὸς τὸν θεὸν διαπρέποντες ἁπάσῃ
τε φιλανθρωπίᾳ τοὺς πολλοὺς ὑπερακοντίζοντες, γῆν τε καὶ θάλασ-
σαν ἐπῄεσαν, τὰ τῆς βασιλείας τοῦ παιδὸς ἰθύνοντες πράγματα τοῖς
τε πλησιοχώροις προσέταττον, ἵνα τοὺς ἐπιξενουμένους Ῥωμαίων
πρὸς αὐτοὺς φέρωσιν, ἐπίγνωσιν τοῦ θεοῦ δι' αὐτῶν τοῖς Ἰνδοῖς
ἐγκατασπεῖραι προμηθούμενοι. εἶχον γὰρ καὶ τὸν καιρὸν προσυπ- 10
ακούοντα· τότε δῆτα ἀνευρόντες τινὰς προτρέπονται τοῖς ἤθεσι Ῥω-
μαίων χρησαμένους εὐκτήρια ποιεῖν καὶ οἴκους ἐκκλησιῶν δείμασθαι
πρὸς συναθροισμὸν τῶν τὴν τοῦ θεοῦ ἐπίγνωσιν ὑποδεχομένων, εἰ
καὶ μὴ δύναιντο θυσιαστήρια πηγνύναι τῷ μὴ παρεῖναι αὐτοῖς αὐθεν-
τίαν ἱερωσύνης. γίνεται γοῦν ἐκ τούτου πρόφασις τοῖς ἐπέκεινα 11
Ἰνδοῖς θεογνωσίας λίαν τοῦ Φρουμεντίου εὐεργεσίαις καὶ θωπείᾳ καὶ
παραινέσεσι φιλοτίμως αὐτοῖς προσιόντος.

Ὡς δὲ ἠνδρύνθη τὸ βασιλικὸν παιδίον, οὗπερ τὴν ἐπιτροπείαν 12
τῆς βασιλείας ἐποιοῦντο, εἰς αὔξησιν μεγίστην ἐπιδόντος αὐτοῦ, αἰ-
τοῦσιν αὐτοὶ χάριν αὐτὸν τὴν ἐπὶ τὰ οἰκεῖα ἐπάνοδον αὐτοῖς χαρί-
σασθαι. τοῦ δὲ βασιλέως σὺν τῇ μητρὶ πολλαῖς παρακλήσεσι λιπα-
ροῦντος καὶ κρατοῦντος καὶ μὴ ἀπολύοντος, ὁ Φρουμέντιος ἔφασκε
σφόδρα λυπεῖσθαι αὐτοὺς περὶ τούτου· διὸ κατηνάγκασαν τόν τε
βασιλέα καὶ τὴν τούτου μητέρα ἐπιδοῦναι τὸ ἀπολυθῆναι αὐτούς· οἱ
δὲ μετὰ πλείστης ὅσης θλίψεως ἐπένευσαν, ὡς δεσπότῃ γὰρ τῷ Φρου-
μεντίῳ ἀντειπεῖν οὐκ ἐβούλοντο. οἱ δὲ παραδεδωκότες ἅπαντα τῷ 13
παιδὶ καὶ τῇ τούτου μητρὶ τὰ ἐγχειρισθέντα αὐτοῖς τῆς βασιλείας
πράγματα, ἐξῆεσαν τῆς Ἰνδίας σὺν τιμῇ πολλῇ τὴν ἐπὶ τὰ οἰκεῖα
πορείαν ποιούμενοι. τότε οὖν ὁ μὲν Αἰδέσιος τὴν Τύρον κατείλη- 14

A²

5 *οἰκείας* Cer.] *οἰκίας* A² **17** *καιρὸν* am Rand von 2. Hd. A² **25** *ἠν-*
δρύνθη corr. von 1. Hd. (?) aus *ἰδρύνθη* A² **36** *οὖν* + *τότε* A²

φερ. ὁ δὲ Φρουμέντιος εἰς Ἀλεξάνδρειαν παραγίνεται, λογισάμενος ὡς ἀκόλουθον εἴη τὸ γενόμενον παρὰ τοῖς βαρβάροις ἔργον θεῖον μὴ περιϊδεῖν· καὶ προσελθὼν τῷ ἐπισκόπῳ τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀθανασίῳ — αὐτὸς γὰρ ἦν τότε τῆς ἐκεῖσε ἀρχιερωσύνης κατέχων τοὺς οἴακας — ἕκαστα αὐτῷ ὁ Φρουμέντιος τῶν γεγενημένων ὑφηγησάμενος ὑπομιμνήσκει ἐπισκόπους αὐτοῖς ἀποσταλῆναι. τότε 15
δῆτα ὁ μέγας Ἀθανάσιος σφόδρα σοφῶς καὶ συνετῶς τοῖς εἰρημένοις προσέχων, λέγει τῷ Φρουμεντίῳ· »καὶ τίνα εὑρήσομεν ἄλλον τοιοῦτον ἄνδρα, ἐν ᾧ πνεῦμα θεοῦ ἐν αὐτῷ κατὰ σὲ, ἀδελφέ, τὸν δυνάμενον ταῦτα ὀρθῶς διακελεύσασθαι καὶ τὰς ἐκκλησίας ὡς ἔνι μάλιστα τὰς ἐκεῖσε ἰθύνειν«; καὶ χειροτονήσας αὐτὸν ἐπίσκοπον κελεύει πάλιν εἰς Ἰνδοὺς ἀποδημῆσαι καὶ τὰς ἐκεῖσε ἐκκλησίας καθιερῶσαι καὶ τοῦ αὐτόθι λαοῦ προμηθεῖσθαι.

Πλείστη δὲ τοῦ θεοῦ χάρις προσετέθη μετὰ τὴν χειροτονίαν τῷ 16
ἀνδρί, τὰς ἀποστολικὰς ἀφιέντι ἀκτῖνας. φθάσας γὰρ τὴν προρρηθεῖσαν ἐνδοτάτην Ἰνδίαν, ἐπὶ σημείοις καὶ δυνάμεσι τὸ τοῦ Χριστοῦ βεβαιῶν εὐαγγέλιον, πολλὰ πλήθη τῶν Ἰνδῶν ἐπὶ τὴν τοῦ Χριστοῦ ἀληθῆ πίστιν ἐφείλκυσε, γνησιώτατα αὐτῶν τὸν θεῖον δι' αὐτοῦ παραδεξαμένων λόγον. διὸ καὶ ἐκκλησίαι καὶ χειροτονίαι εἰς πλῆθος ηὔξησαν ἐν ἐκείνοις τοῖς ἔθνεσι. ταῦτα ἡμῖν ὁ Λιδέσιος ἐν τῇ 17
Τύρῳ παραμείνας διηγήσατο· πρεσβύτερος γὰρ τῆς αὐτόθι ἐκκλησίας γενόμενος ἐν αὐτῇ παρέμεινεν ἕως τῆς τοῦ βίου τελευτῆς.

Περὶ Ἰβήρων καὶ Λαζῶν καὶ τῆς ἐν αὐτοῖς αἰχμαλώτου ἁγίας γυναικός.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ οἱ πρὸς τῇ κατὰ Πόντον γῇ 10 1
Ἴβηρές τε καὶ Λαζοὶ τὸν τοῦ θεοῦ ἐδέξαντο λόγον, μήπω πρὸ τούτου εἰς αὐτὸν πεπιστευκότες. τοῦ δὲ μεγίστου ἀγαθοῦ τούτου αἰτία κατέστη γυνή τις παρ' αὐτοῖς αἰχμάλωτος οὖσα, ἄκρον δὲ βίον μετερχομένη δι' ἐγκρατείας τε καὶ τῶν ἄλλων ἀγαθῶν ἔργων πάντας αὐτοὺς εἰς ἔκστασιν ἦγεν. ὡς δὲ τὴν αἰτίαν διεπυνθάνοντο τῆς τοσαύτης 2
αὐτῆς ἀσκήσεως, ἁπλότητι μὲν ἡ ἁγία ἐκείνη γυνὴ λέγει· »διὰ Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ«. οὐδένα μέντοι ἐκ τούτου εἰς πίστιν ἔφερεν τῆς εὐσεβείας, ἐθαύμαζον δὲ μόνον τὴν γυναῖκα, καὶ τῷ ξένῳ βίῳ αὐτῆς προσέχοντες πολλὰ ἐλογίζοντο. ἀλλ' ἐπειδὴ ἔθος ἦν αὐτοῖς, 3
εἴπερ νήπιον εἶχον ἀσθενείᾳ περιπεσόν, περιτρέχοντας αὐτοὺς πρὸς

20 auch die Quellenangabe wörtlich bei Rufin — 24—S. 154, 19 vgl. Rufin X 11 p. 973ff

A²

2 εἴη Ltz εἶναι A² | γινόμενον A² | zu θεῖον vgl. *opus dominicum* Ruf. θεὸν A² 23 γυναικὸς + κατὰ τοῦ θεοδωρίτου A² 25f τούτου aus τούτους, ς von 1. Hd. gestrichen A²

τοὺς ἐγχωρίους ἅπαντας ἐκάστοθεν πορίζεσθαι βοήθημα, γέγονε διὰ τούτου ἐκπεριελθοῦσάν τινα πάντας ἐλθεῖν καὶ πρὸς τὴν αἰχμάλωτον. ἡ δὲ πρὸς τῇ θύρᾳ ἑστῶσῃ σὺν τῷ παιδαρίῳ τῇ γυναικὶ ἔφη· 4
»οὐδὲν ἐγὼ τῷ παιδαρίῳ δυνήσομαι βοηθῆσαι, τὸν δὲ Χριστόν, ὃν ὑμῖν εἶπον πολλάκις, οἶδα δυνατὸν εἶναι καὶ νεκροὺς ἀνιστᾶν καὶ τοῖς ἀπηγορευμένοις χαρίζεσθαι ἴασιν«. ἡ δὲ τοῦ παιδὸς μήτηρ καθικέτευε τὴν αἰχμάλωτον. τότε οἰκτῳ τῆς δεομένης κινηθεῖσα τὸ νήπιόν τε τῷ σάκκῳ τῷ ἑαυτῆς περιβαλοῦσα, προσευξαμένη τῷ θεῷ ἀπέδωκεν αὐτὸ τῇ μητρὶ ὑγιές. διέδραμε δὲ εἰς πολλοὺς τὸ γενόμενον 5
καί γε ἄχρι τῆς βασιλίδος ἔφθασεν, ἥτις κατέκειτο βαρυτάτῃ νόσῳ κατεχομένη· καὶ γὰρ χρόνον ἱκανὸν ἀσθενήσασα, ἀνιάτως εἶχε λοιπὸν τὰ περὶ τῆς φθασάσης αὐτὴν χαλεπωτάτης νόσου. ἀξιοῖ μὲν οὖν τὴν αἰχμάλωτον ἀποστείλασα διὰ τῶν οἰκείων πρὸς αὐτὴν παραγενέσθαι. ἡ δὲ δέει καὶ εὐλαβείᾳ ἀνανεύει τοῦ πρὸς τὴν βασιλίδα διαβῆναι, εἰδυῖα τὸν ἐκ τῆς ἀνθρωπίνης δόξης παρεισδύνοντα ὄλισθον. διά 6
τοι τοῦτο ἀπρὶξ ἔχουσαν αὐτὴν τοῦ μὴ ἐλθεῖν ἐπιγνοῦσα ἡ βασίλισσα κελεύει σὺν τῷ σκιμποδίῳ πρὸς αὐτὴν ἀπαχθῆναι. ἧστινος δυσωπηθεῖσα τὴν ταπείνωσιν ἡ μακαρία αἰχμάλωτος τὸν αὐτὸν τρόπον περιβαλοῦσα τὴν βασιλίδα τῷ σάκκῳ, ἐφ' ᾧ γόνυ κλίνασα τὰς εὐχὰς τῷ θεῷ προσέφερε τῇ συνήθει πρὸς τὸν Χριστὸν εὐχῇ, ὑγιῆ οἴκαδε ἀποπέμπει χαίρουσαν καὶ πορευομένην τοῖς οἰκείοις ποσί, νέον καὶ ξένον θαῦμα τοῖς ἐντοπίοις παρεχομένην, τοῦ Χριστοῦ τὴν χάριν ὁμολογοῦσαν, καθὼς παρὰ τῆς αἰχμαλώτου γυναικὸς ἐδιδάχθη. τρανῶς τε ἀπεφθέγγετο πορευομένη· »δόξα σοι Χριστέ, φησί, δέσποτα τῆς αἰχμαλώτου· σοὶ χάρις καὶ σοὶ πᾶσα τιμή, σωτὴρ ἡμῶν τῶν εἰς σὲ πιστεύειν ἠξιωμένων«. ἀλλὰ καὶ τῷ συμβίῳ ἑαυτῆς ἡ βασί- 7
λισσα διηγήσατο ἕκαστα, παρώρμησε δὲ αὐτὸν εἰς ἀμοιβὴν ἀξιόπιστον χρήμασι βουληθῆναι ἀμείψασθαι τὴν αἰχμάλωτον τῆς εὐεργεσίας τῆς εἰς τὴν σύμβιον αὐτοῦ ἕνεκα. ἡ δὲ βασίλισσα πρὸς αὐτὸν ἔφη· »ἡ 8
αἰχμάλωτος αὕτη, ὦ βασιλεῦ, οὐκ ὀρέγεται ἀργυρίου οὔτε χρυσίου περιποιεῖται· δῶρον δὲ ἀπαιτεῖ παρ' ἡμῶν ἀξιόχρεων, τὸ μόνον ἡμᾶς πιστεῦσαι, ὅτι ὁ Χριστὸς υἱός ἐστι τοῦ θεοῦ τοῦ ὑψίστου· ᾗ γὰρ ὁ πᾶς βίος νηστεία καὶ ἐγκράτεια, περιττοὶ θησαυροὶ χρυσίου καὶ ἀργυρίου, καὶ γὰρ ἀπεπειράθην τῆς εὐσεβοῦς. τἀληθῆ διηγοῦμαί σοι, ὦ βασιλεῦ. ἀλλ' εἴ μου παρὰ σοὶ φροντίς ἐστι σωτηρίας, ἀμειψώμεθα καινότερον τὴν γυναῖκα, τὸν Χριστὸν αὐτῆς παραδεχόμενοι εἰς προσκύνησιν«. ὁ δὲ τέως ὀκνηρότερον διετέθη, καίτοι πολλάκις ὑπο- 9

A²

12 οὖν von 2. Hd. übergeschrieben A² 33 περιττοὶ aus περιττὸν corr. A²

μιμνησκόμενος πρὸς τῆς γαμετῆς ὑπερετίθετο ἐκλύων ταῖς εὐαγγελίαις τὴν αἴτησιν καὶ καιρὸν πρόσφορον ἐλπίζων αὐτῷ περὶ τούτου λυσιτελεῖν [ἔλεγεν]. ὃ καὶ γέγονε κατὰ πρόνοιαν θεοῦ τοῦ θέλοντος »πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν«. συνέβη γὰρ αὐτὸν ἐν θήρᾳ περισπώμενον περὶ ὕλην κάταλσον καὶ βαθυτάτην ἐν ἡμέρᾳ σταθερᾷ ὑποστῆναι νύκτα ἀπροσδόκητον. ἄφνω γὰρ ἐν μεσημβρίᾳ κατὰ πάσης τῆς ὕλης περιεχύθη σκότος βαθύτατον, ἔνθα ἦν ὁ βασιλεύς. ὡς δὲ καὶ οἱ συνόντες αὐτῷ τῇδε κἀκεῖσε πρὸς τὴν θήραν διασπώμενοι εὑρηνται, φόβος συνέσχε τὸν βασιλέα μέγιστος ἥκιστα λογιζόμενον, ὅπως διαφύγῃ τὴν ἔφοδον. ἐπεὶ δὲ καὶ πάντες οἱ συνόντες αὐτῷ τὴν αὐτὴν ὑπέμενον ἀνάγκην (ἕκαστον γὰρ τῶν πρὸς αὐτὸν ἐληλυθέναι σπευδόντων ἐν ᾧ κατείληφε τόπῳ τὸ σκότος ἐστήλωσε, προβῆναι μὴ συγχωρῆσαν εἰς ἀλλήλων παράκλησιν) τότε ὑπομνησθεὶς ὁ βασιλεὺς τῆς γαμετῆς καὶ τῆς ταύτην ἀνιάτως ἔχουσαν ἰασαμένης αἰχμαλώτου, ἐβόησε λέγων· »Χριστέ, ὁ τῆς αἰχμαλώτου κύριος, παράστηθί μοι τὰ νῦν, ἵνα φύγω τὴν ἐπικειμένην ἀνάγκην· ἔχω γὰρ σαφεστάτην πεῖραν τῆς θείας σου δυνάμεως τὴν ἐμὴν σύμβιον«. καὶ ἅμα τῷ τελέσαι τὴν εὐχὴν εὐθὺς περιαιρεθέντος τοῦ σκότους τὸ φῶς τῆς ἡμέρας ἐπεχύθη μᾶλλον ἢ τὸ πρότερον κατὰ πάσης τῆς ὕλης, ἔνθα ἦσαν ἐστηλωμένοι. καὶ παραγενόμενοι οἶκοι ὑγιεῖς παραχρῆμα εὗρον τὸν βασιλέα κελεύοντα τὴν αἰχμάλωτον ⟨εὐθ⟩έως πρὸς αὐτὸν γενέσθαι, μηκέτι θεὸν ἕτερον προσκυνεῖν ἐπαγγελλόμενον ἢ Ἰησοῦν Χριστόν, ὃν ἡ γυνὴ σέβεται. ἔρχεται οὖν ἡ γυνὴ ἡ αἰχμάλωτος, καὶ γίνεται τοῦ βασιλέως διδάσκαλος πάντα τὸν τύπον τῆς πίστεως αὐτῷ ἐπιστήσασα. ὁ δὲ χαίρων οὐκ ἠδεῖτο πρὸς εὐτελοῦς γυναικὸς θεοσέβειαν ἐκμανθάνων· τοὐναντίον δὲ ἐπ' αὐτῇ σεμνυνόμενος εἰς μέσον αὐτὴν ἄγεσθαι ἐπὶ τοῦ πλήθους ἐκέλευσε παρρησιαζόμενος ἐπ' αὐτῇ λέγων· »ὅτι μου ἡ γαμετὴ θάνατον διὰ τῆς προσευχῆς ταύτης διέδρα Χριστοῦ τοῦ παμβασιλέως τῇ χάριτι«. ἔπειθέ τε τοὺς ὑπηκόους, εἰ θέλοιεν σώζεσθαι, καὶ τὰ αὐτὰ φρονεῖν καὶ τὴν εἰς Χριστὸν αἵρεῖσθαι προσκύνησιν τῶν εἰδώλων καταφρονοῦντας.

Ἐπειδὴ δὲ ἔμαθε πρὸς τῆς ἁγίας γυναικὸς ὅτι ἐκκλησίας χρὴ ἱδρύσασθαι εἰς προσκύνησιν τοῦ Χριστοῦ, ὁμοῦ προῄει ἐπὶ τὴν χρείαν σπουδαίως. ὡς δὲ τοῦ οἴκου τὸν περίβολον ἤγειραν οἰκοδομήσαντες,

4 I Tim. 2, 4

A²

22 ⟨εὐθ⟩έως Hei] ἕως A² 34 ἱδρύσασθαι: ύσ übergeschrieben A² 35 am Rand Θ A²

ἔδει δὲ λοιπὸν τοὺς κίονας στῆσαι ἐν μέσῳ τοῦ οἴκου πρὸς διαίρεσιν τῶν συνερχομένων ἀνδρῶν τε καὶ γυναικῶν, θέλων ὁ θεὸς πάγιον γνώμην ἐνθεῖναι τῷ τε βασιλεῖ καὶ πᾶσι τοῖς ὑπ' αὐτοῦ ὑπηκόοις περὶ τοῦ διὰ τῆς αἰχμαλώτου γυναικὸς κηρυχθέντος εὐαγγελίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ. ποιεῖ τὸν τρίτον κίονα εἰς μέσον ὀρθωθέντα ἔτι τε πλάγιον ὄντα μὴ γενέσθαι εἰς τέλος ὄρθιον καθάπερ καὶ οἱ δύο ἕτεροι· καὶ πολλὰ καμόντες οἱ τεχνῖται τά τε ἱστία σὺν ταῖς μηχαναῖς ἁπάσαις διαρρήξαντες καὶ συντρίψαντες ὑπεξαναχωροῦσι φεύγοντες, δεδιότες μὴ ἐναπολειφθέντες χαμαὶ ὑπὸ τὸν κίονα ἀποθάνωσιν· ἵστατο γὰρ ὁ κίων ἐν τῷ ἀέρι κρεμάμενος πλάγιος, μηδενὸς ὡς ἔθος τοῖς τεχνίταις ἐπινοουμένου παρ' αὐτῶν τινος βοηθήματος. ἀκούει ταῦτα ἡ αἰχμάλωτος καὶ δέει πολλῷ συσχεθεῖσα, μὴ ἀνάπαλιν τὸ πλῆθος ἐπιδῷ ἑαυτὸ πρὸς τὰ εἴδωλα, ἔρχεται δύνοντος τοῦ ἡλίου κατὰ τὸν τόπον καὶ κλίνασα γόνυ πρὸς τὸν θεὸν ἕως πρωῒ ἤγειρε διὰ τῆς εὐχῆς τὸν κίονα, οὐκ ἐπὶ τὴν βάσιν ἑστῶτα, ἀλλ' ὀρθὸν μὲν ἠρτημένον ἐπάνω τῆς βάσεως ὅσον ἀπὸ πήχεως ἑνός, οἰκονομοῦντος τοῦ θεοῦ μὴ ἀπιέναι τὴν αἰχμάλωτον οἴκοι ἕως τῆς τοῦ πλήθους ἀφίξεως, ἵνα γνῶσιν αὐτῆς τὴν ἐν τῷ ὑπ' αὐτῆς κηρυττομένῳ ἀληθινῷ θεῷ πίστιν. ἦλθον οὖν ἕωθεν σὺν τῷ βασιλεῖ, καὶ ἰδόντες ὄρθιον ἠρτημένον τὸν τηλικοῦτον κίονα ἐξίσταντο. τότε τῆς αἰχμαλώτου πᾶσι γενομένης καταφανοῦς διὰ τὸ γεγονός, ἀναστάσης αὐτῆς ἐκ τῆς εὐχῆς εὐθέως ὁ κίων. οἷά τινων τεχνιτῶν τῇ οἰκείᾳ βάσει αὐτὸν προσαρμοζόντων ὡς ἔνι μάλιστα ἀπετέθη, πλείστην ὅσην παρὰ τοὺς ἔμπροσθεν καὶ τοὺς μετ' αὐτὸν κίονας ἔχων εὐπρεπῆ τὴν ἀσφάλειαν. ἐκ τούτου γέγονε καὶ τοὺς λοιποὺς τοῦ πλήθους συνελθεῖν καὶ συνομολογῆσαι τὴν τοῦ βασιλέως πίστιν θαυμάζοντας Χριστόν· τοῦτο γὰρ αὐτοῖς ἡ αἰχμάλωτος ἐκείνη ἁγία γυνὴ διεμαρτύρατο· ἐδεδοίκει γὰρ τοῦ πλήθους τὴν ἁπλότητα, μήποτε ἄρα ὑπὸ τῆς πατρῴας δεισιδαιμονίας νυττόμενοι εἰς αὐτὴν τὸ εἰς Χριστὸν σέβας ἀπενέγκοιντο, ἤγουν δόξαν περὶ αὐτῆς σχῶσι μὴ συντείνουσαν πρὸς εὐσέβειαν. διὰ τοῦτο καὶ κοινωνῆσαι αὐτοὺς τῆς εὐχῆς προετρέψατο, ἡνίκα τὸν κίονα ἠρτημένον τῷ οἰκείῳ τόπῳ προσαρμοσθῆναι πεποίηκε, συσκιάζουσα διὰ τούτου τὴν οἰκείαν ὑπόληψιν, τὴν δὲ τοῦ σωτῆρος Χριστοῦ ἐνέργειαν λέγουσα εἰς πάντας ἀνθρώπους τοὺς εἰς αὐτὸν εὐσεβοῦντας διαβαίνειν ἐν ταῖς ὑπὲρ ἄνθρωπον πράξεσι.

A²

22 *οἰκία* A² corr. Cer. **24** nach *την* (τ'') Raum für zwei Buchstaben A² **32** *οἰκίῳ* A² corr. Cer.

Μετὰ δὲ τὸ τελειωθῆναι τὴν ἐκκλησίαν ὑποτίθεται τῷ τε βασι- 19
λεῖ καὶ τῇ βασιλίδι ἡ αἰχμάλωτος πέμψαι αὐτοὺς πρὸς τὸν τῆς εὐσε-
βείας σύντροφον τὸν θεοφιλέστατον βασιλέα Κωνσταντῖνον πεμφθῆ-
ναι αὐτοῖς παρ' αὐτοῦ αἰτουμένους τὸν τὴν ἐκκλησίαν ἐκείνην κα-
θιερώσοντα. τότε ὑπό τε τοῦ βασιλέως καὶ τοῦ κοινοῦ τῶν Ἰβήρων
οἱ σταλέντες πρεσβευταὶ καταλαμβάνουσι τὴν Κωνσταντινούπολιν,
ἀναγγέλλοντες τῷ βασιλεῖ Κωνσταντίνῳ τὴν ἐκεῖσε κρατυνθεῖσαν
τοῦ Χριστοῦ πίστιν, ἐπίσκοπον αἰτοῦντες δοθῆναι αὐτοῖς παρ' αὐτοῦ
εἰς τὴν τῶν παρ' αὐτοῖς ἐκκλησιῶν καθιέρωσιν ὁμοῦ καὶ διατύπω-
σιν. οὓς προσηνῶς δεξάμενος ὁ εὐσεβὴς καὶ φιλόχριστος βασιλεὺς 20
Κωνσταντῖνος, χαίρων ἐν τῷ κυρίῳ παρέσχε τὴν αἴτησιν, τὸν τῆς
Κωνσταντινουπόλεως ἐπίσκοπον Ἀλέξανδρον παρορμήσας χειροτονῆ-
σαι τῶν Ἰβήρων ἐπίσκοπον, ὁμοῦ συνορῶν θεοῦ νεῦμα εἶναι τοῦ τοὺς
ἀλλοφύλους αὐτῷ καθυποτάσσοντος. τούτων ἡμῖν ὁ πιστότατος 21
Βακχούριος ὑφηγητὴς γέγονεν, ἀνὴρ εὐλαβέστατος καὶ τοῦ βασιλικοῦ
γένους τῶν παρ' αὐτοῖς Ἰβήρων περιφανέστατος, ⟨ὃς⟩ σατράπης Ῥω-
μαίων καταστὰς καὶ ταῖς ἀκρωρείαις τῆς Παλαιστίνης κατὰ τῶν Σαρα-
κηνῶν βαρβάρων ἐπιστρατεύσας πόλεμον ἄκρως ὅτι μάλιστα τὴν κατ'
αὐτῶν νίκην ἤρατο.

Ἀλλ' ἐπανιτέον εἰς τὸ ἐγχειρισθὲν τῆς βασιλείας τῆς ἱστορίας· 22
ὁ γάρ τοι βασιλεὺς Κωνσταντῖνος ἐπιμελέστερος ὢν περὶ τὸν χρι-
στιανισμὸν καὶ ἀποστολικῷ εἰς τὸν Χριστὸν ἐκκαιόμενος πόθῳ,
ἑτέρας καὶ αὖθις ἐκκλησίας κατὰ πόλεις ἐποίει καὶ μίαν μὲν ἐν τῇ
καλουμένῃ δρυῒ τῇ Μαμβρῇ, ὑφ' ἣν τοὺς ἀγγέλους ξενισθῆναι πρὸς
τοῦ Ἀβραὰμ οἱ ἱεροὶ λόγοι μηνύουσι, κατεσκεύασε. μαθὼν γὰρ ὁ 23
τὰ πάντα ἄριστος καὶ θεοφιλέστατος βασιλεὺς Κωνσταντῖνος ὑπὸ
τῇ δρυῒ ἐκείνῃ βωμὸν ἱδρῦσθαι καὶ θυσίας Ἑλληνικὰς ἐπ' αὐτῷ τε-
λεῖσθαι, μέμφεται μὲν δι' ἐπιστολῆς Εὐσεβίῳ τῷ Καισαρείας τῆς
Παλαιστίνης ἐπισκόπῳ παριδύντι τὸ τοιοῦτον μυσαρὸν τόλμημα,
κελεύει δὲ τὸν μὲν βωμὸν ἀνατραπῆναι, πρὸς δὲ τῇ δρυῒ ἐκκλησίαν
τοῦ θεοῦ τοῦ ζῶντος κατασκευασθῆναι. ἔτι καὶ ἐν Ἰλιουπόλει 24
τῆς Φοινίκης μαθὼν αὐτοὺς ἀσεβῶς βιοῦντας καὶ αἰσχρὰν ἀγωγὴν
μετιόντας, νόμῳ σεμνῷ τὸν αἰσχρὸν αὐτῶν ἀνεῖλε βίον, ἐκκλησίαν
δὲ κτίσας ἐν τῇ αὐτῇ πόλει καὶ ἐπίσκοπον χειροτονηθῆναι παρα-
σκευάσας κλῆρόν τε ἱερὸν σὺν αὐτῷ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ καθιερω-

14 Quellenangabe fast wörtlich so bei Rufin — **20**—S. **155, 11** vgl. Socr. I 18, 5ff p. 110 — **24** vgl. Gen. 18, 1ff

A²

1 *ῷ* in *τῷ* undeutlich A² **16** corr. Holl **22** *ἐκκαιόμενος*: *αι* durch Correctur A² **30** im Text *ἀνατραπῆ*, darüber von 2. Hd. *εἶναι* A²

θῆναι προστάξας, οὕτως τὰ Ἡλιουπολιτῶν κακὰ μετριώτερα ἀπειργάσατο, οὐ μὴν ἀλλὰ γὰρ καὶ ἄρχοντας πολιτικοὺς Χριστιανοὺς καὶ ἐπὶ βίῳ σεμνῷ μαρτυρουμένους ἐπιλεξάμενος προσκατέστησε τῇ πόλει καὶ τῇ περιχώρῳ πάσῃ, θάνατον αὐτοῖς ἀπειλήσας, εἰ μὴ τῆς πρότερον προσούσης αὐτοῖς αἰσχρουργίας καὶ τῆς περὶ τὰ μυσαρὰ εἴδωλα δεισιδαιμονίας αὐτῶν ὡς τάχιστα ἑαυτοὺς μεταβάλοιεν. ἔτι τε τὸν ἐν Ἀφάκοις τῆς Ἀφροδίτης * ἀρρητοποιΐας ἀνέτρεψε. καὶ τὸν ἐν τῇ Κιλικίᾳ Πυθωνικὸν ἀπήλασε δαίμονα. τὸν ναὸν ἐν ᾧ ἐφώλευεν ἐκ θεμελίων ἀνατραπῆναι κελεύσας. τοιαῦτα ὁ πιστότατος βασιλεὺς Κωνσταντῖνος πανταχοῦ γῆς εἰργάζετο χρηστά. 25

Παραθήσω δὲ καὶ ἕτερον τεκμήριον τῇδε τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ τῆς τοῦ αὐτοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου εἰς τὸν τῶν ὅλων θεὸν πίστεως. τοσοῦτος γὰρ αὐτῷ ἦν ὁ περὶ τὸν Χριστὸν πόθος καὶ ζῆλος, ὡς καὶ εἰς Πέρσας σκεπτόμενος ὑπὲρ τῶν ἐκεῖσε Χριστιανῶν διαβῆναι κελεῦσαί τε κατασκευασθῆναι σκηνὴν ἐκ ποικίλης ὀθόνης ἐκκλησίας τύπον ἀποτελοῦσαν, ὡς καὶ Μωσῆς ἐν τῇ ἐρήμῳ πεποίηκε καὶ ταύτην φέρεσθαι ἐν τῇ ὁδῷ. ἵνα ἔχῃ κατὰ τοὺς ἐρήμους τόπους εὐκτήριον εὐπρεπές, ἐν ᾧ τὰς εὐχὰς τῷ θεῷ ἀναπέμπει. ἀλλὰ τὴν μὲν ἐπὶ τὴν Περσίδα πορείαν διανύσαι αὐτὸν τότε κατὰ γνώμην αὐτῷ οὐχ ὑπήντησε, τῆς τῶν ἐκκλησιῶν τοῦ θεοῦ προμηθουμένῳ εἰρήνης· ὁ δ' ἐκεῖσε, τῶν Περσῶν λέγω, βασιλεὺς ὑπὲρ τῶν ὑπ' αὐτὸν τῆς εὐσεβείας τροφίμων τὴν πρόνοιαν ποιούμενος, μαθὼν αὐτοὺς ὑπὸ τῶν ἐκεῖσε ἀσεβῶν ἐλαυνομένους καὶ αὐτὸν δὲ τοῦτον τὸν ἐκε⟨ίνων⟩ βασιλέα τῇ πλάνῃ δεδουλωμένον παντοδαποὺς αὐτοῖς καττύειν ἐπιβουλάς, Σαβώριος δὲ ἦν, ἐπέστειλεν αὐτῷ καὶ εὐσεβεῖν παραινῶν καὶ τοὺς εὐσεβεῖς καὶ Χριστιανοὺς τιμῆς ἀπολαύειν αἰτῶν. σαφῆ δὲ τὴν τοῦ φιλοχρίστου βασιλέως σπουδὴν αὐτὰ δείξει τὰ γράμματα. 26 27

Ἐπιστολὴ βασιλέως Κωνσταντίνου πρὸς Σαβώριον τὸν τῶν Περσῶν βασιλέα περὶ τῆς τοῦ λαοῦ τοῦ θεοῦ προνοίας.

»Τὴν θείαν πίστιν φυλάττων τοῦ τῆς ἀληθείας φωτὸς μετα- 11 1
»λαγχάνω· τῷ τῆς ἀληθείας φωτὶ ὁδηγούμενος τὴν θείαν πίστιν ἐπι-

11—21 Quelle Johannes? — **16f** vgl. Exod. 36 — **22—28** vgl. Thdt. I 24, 12f p. 76 — **31**—S. **157, 11** vgl. Thdt. I 25, 1—13 p. 76ff

A²

7 Ἀφάκοις Socr.] ἀφάτοις A² | * erg. nach Socr. etwa: ναὸν καθελὼν τὰς ἐκεῖ γιγνομένας ἀνέδην **13** τοσοῦτον A² **17** ἔχῃ Ltz. ἔχει A² **24** ἐκείνων Thdt.] ἐκεῖ (entgegen d. Sprachgebrauch) A² **26** ἀπολαύειν corr. aus ἀπολάβειν A²

»γινώσκω. τοιγάρτοι ὡς τὰ πράγματα βεβαιοῖ, τὴν ἁγιωτάτην θρη-
»σκείαν γνωρίζω διδάσκαλον οὖσαν τῆς γνώσεως τοῦ ἁγιωτάτου θεοῦ,
»ταύτην τὴν λατρείαν ἔχειν ὁμολογῶ. τούτου τοῦ θεοῦ μου τὴν
»δύναμιν ἔχων σύμμαχον, ἐκ τῶν περάτων τοῦ ὠκεανοῦ ἀρξάμενος
»πᾶσαν ἐφεξῆς τὴν οἰκουμένην βεβαία⟨ις⟩ σωτηρίας ἐλπίσι διήγειρα,
»ὡς ἅπαντα ὅσα ὑπὸ τοσούτοις τυράννοις ἔθνη δεδουλωμένα ταῖς
»καθημεριναῖς συμφοραῖς τρυχόμενα ἐξίτηλα γέγονε, ταῦτα νῦν προσ-
»λαμβάνοντα τὴν τῶν κοινῶν ἐκδικίαν, ὥσπερ ὑπὸ πολλῆς τινος θερα-
»πείας ἀναζωπυρηθέντα, αὐχοῦσι τε καὶ ἀγάλλονται καὶ πανηγυρικὰς
»τῷ θεῷ ἐπιτελοῦσιν ἑορτάς. τοῦτον τὸν θεὸν ἐγὼ πρεσβεύω, οὗπερ 2
»τὸ σημεῖον ὁ αὐτῷ ἀνακείμενός μοι στρατὸς ὑπὲρ τῶν ὅμων φέρει.
»καὶ ἐφ᾽ ἅπερ ἂν ὁ τοῦ δικαίου λόγος παρακαλεῖ, κατευθύνεται. ἐξ
»αὐτῶν δ᾽ ἐκείνων περιφανέσι τροπαίοις αὐτίκα τὴν χάριν λαμβάνω.
»τοῦτον τὸν θεὸν ἀκραιφνεῖ καὶ καθαρᾷ διανοίᾳ ἐν τοῖς ἀνωτάτω
»τυγχάνειν ὑπεραυγάζομαι.

»Τοῦτον δὲ τὸν θεὸν ἐπικαλοῦμαι γόνυ κλίνας, φεύγων μὲν πᾶν 3
»αἷμα βδελυκτὸν καὶ ὀσμὰς ἀηδεῖς καὶ ἀποτροπαίους, πᾶσαν δὲ λαμ-
»πηδόνα ἐκκλίνων, αἷς ἡ παμμίαρος καὶ ἀθέμιτος πλάνη χαίρουσα
»πολλοὺς τῶν ἐθνῶν καὶ ὅλα γένη χράνασα κατέρριψε, τοῖς κατω-
»τάτω παραδοῦσα μέρεσιν. ἃ γὰρ ὁ θεὸς τῶν ἀνθρώπων πρόνοιαν 4
»διὰ φιλανθρωπίαν οἰκείαν ποιούμενος χρείας ἡμῶν ἕνεκα εἰς τοὐμ-
»φανὲς παρήγαγε, ταῦτα πρὸς τὴν ἑκάστου ἐπιθυμίαν κακῶς ἀνέρ-
»χεται· καθαρὰν δὲ μόνην διάνοιαν καὶ ψυχὴν ἀκηλίδωτον παρὰ
»ἀνθρώπων ἀπαιτεῖ, τὰς τῆς ἀρετῆς καὶ εὐσεβείας πράξεις ἐν τούτοις
»σταθμώμενος. ἐπιεικείας γὰρ καὶ ἡμερότητος ἔργοις ἀρέσκεται πρόσω-
»φιλῶν, μισῶν τοὺς ταραχώδεις, ἀγαπῶν τὴν πίστιν, ἀπιστίαν κολά- 5
»ζων, πᾶσαν μετὰ ἀλαζονείας δυναστείαν καταγνοὺς καταβάλλει, ὕβριν
»ὑπερηφάνων τιμωρεῖται, τοὺς ὑπὸ τύφου ἐπαιρομένους ἐκ βάθρων
»ἀναιρεῖ. οὗτος καὶ βασιλείαν δικαίαν περὶ πολλοῦ ποιούμενος ταῖς 6
»παρ᾽ αὐτοῦ ἐπικουρίαις κρατύνει, σύνεσίν τε βασιλικὴν τῷ γαληναίῳ
»τῆς εἰρήνης διαφυλάττει.

»Διὸ χαίρων ἄγαν ὑπεραγάλλομαι, ἀδελφέ, τοῦτον θεὸν εἶναι
»ὁμολογῶ⟨ν⟩ πάντων ἀρχηγὸν καὶ σωτῆρα, ὃν πολλοὶ τῶν τῇδε βασιλευ-

9 Interpolation des Gelasius — **27** vgl. Jes. 13, 11

A²

5 *βεβαίαις* Thdt.] *βεβαία* A² **6** *τυράννοις* aus *τυράννης* A² **7** *συμφο-
ραῖς* A² **10** Am Rand noch kenntlich *ὑπερ . . . αλλ* von späterer Hd. A²
11 *αὐτῷ* corr. aus *αὐτοῦ* A² **16** *μὲν* übergeschrieben von späterer Hd. A²
21 *οἰκίαν* A² **27** *ἀλοζονείας* A² **33** *ὁμολογῶν* Thdt.] *ὁμολογῶ* A²

›σάντων, μανιώδεσι πλάναις ὑπαχθέντες. ἐπεχείρησαν ἀρνήσασθαι.
›ἀλλ᾽ ἐκείνους ἅπαντας τοιοῦτον τιμωρὸν τέλος κατελάλωσεν, ὡς
›πᾶν τὸ μετ᾽ ἐκείνους ἀνθρώπων γένος τὰς ἐκείνων συμφορὰς οὐκ
›ἀντ᾽ ἄλλου παραδείγματος ἢ ταύτας παρὰ τοῖς τὰ ὅμοια ζηλοῦσι
›τίθεσθαι. τούτων ἐκεῖνον ἕνα ἡγοῦμαι γεγονέναι, ὃν καθάπερ τις 7
›σκηπτὸς ἡ θεία δίκη τῶν τῇδε ἀπελάσασα τοῖς ὑμετέροις μέρεσι
›παραδέδωκε, τῆς ἐπ᾽ αὐτῷ αἰσχύνης πολυθρύλλητον τὸ παρ᾽ ὑμῖν
›τρόπαιον ἀποφήναντα.

›Ἀλλὰ γὰρ ἔοικεν εἰς καλὸν προκεχωρηκέναι τὸ καὶ ἐν τῷ καθ᾽
›ἡμᾶς αἰῶνι τὴν τῶν τοιούτων τιμωρίαν περιφανῆ δειχθῆναι. ἐπεῖ-
›δον γὰρ καὶ αὐτὸς ἐκείνων τὰ τέλη, τῶν ἔναγχος ἀθεμίτοις 8
›προστάγμασι τὸν τῷ θεῷ ἀνακείμενον ἐκταραξάντων λαόν. διὸ δὴ
›καὶ πολλὴ χάρις τῷ θεῷ, ὅτι τελείᾳ προνοίᾳ πᾶν τὸ ἀνθρώπινον
›γένος, τὸ φυλάττον τὸν θεῖον αὐτοῦ νόμον, ἀποδοθείσης αὐτῷ τῆς
›εἰρήνης, ἀγάλλεται καὶ γαυριᾷ. ἐντεῦθεν καὶ ἡμῖν αὐτοῖς πεπεισ- 9
›μένον, ὅτι κάλλιστα καὶ ἀσφαλέστατα ἔχειν ἡμᾶς ἅπαντα συνέστηκεν,
›ὁπότε διὰ τῆς τούτων, τῶν τοῦ θεοῦ λέγω λαῶν, καθαρᾶς καὶ
›δοκίμου θρησκείας ἐκ τῆς περὶ τὸ θεῖον συμφωνίας πάντα⟨ς⟩ εἰς αὐτὸν
›ἀγείρειν ἄξιον.

›Τούτου τοῦ καταλόγου τῶν ἀνθρώπων τῶν ἐμῶν συνθεραπόν- 10
›των, λέγω δὴ τῶν Χριστιανῶν (ὑπὲρ γὰρ τούτων ὁ πᾶς μοι λόγος)
›πῶς οἴει με ἥδεσθαι ἀκούοντα, ὅταν καὶ τῆς Περσίδος τὰ κράτιστα
›ἐπὶ πλεῖστον ὥσπερ ἔστι μοι βουλομένῳ κοσμῆται; σοί τε οὖν, ὡς
›ἅτε πρεπώδες τὰ κάλλιστα νέμειν ἐκείνοις ἐπινεύσειας, ὑπάρξοι
›ὡσαύτως τὰ κάλλιστα, ὅ τι σοὶ κἀκείνοις. οὕτως γὰρ ἕξεις τὸν 11
›τῶν ὅλων δεσπότην καὶ θεὸν πρᾷον, ἵλεων καὶ εὐμενῆ. τούτους
›τοιγαροῦν, ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθημι, ὅτι καὶ εὐσεβείᾳ
›ἐπίσημος εἶ. ἐγχειρίζων τὴν τούτων διακυβέρνησιν, τῶν Χριστιανῶν
›λέγω, τοῖς τῆς εἰς τὸν θεὸν θρησκείας εὐσεβοῦς ἐν αὐτοῖς προστα-
›τεύουσι· τούτους ἀγάπα ἁρμοδίως τῆς σαυτοῦ φιλανθρωπίας. σαυτῷ
›τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσει⟨ς⟩ διὰ τῆς πίστεως τὴν χάριν.

Τοσαύτην ὁ τὰ πάντα ἄριστος βασιλεὺς Κωνσταντῖνος τῶν ἐν 12
τῇ εἰς Χριστὸν εὐσεβείᾳ κοσμουμένων ἐποιεῖτο φροντίδα. οὐ μόνον

A²

4 ἀντ᾽ ἄλλου corr. aus ἀντάλου A² συμφορὰς ἀντ᾽ ἄλλου παραδείγματος ἐπαράτους τοῖς τὰ ὅμοια ζηλοῦσι Thdt. **5** ἐκεῖνον corr. aus ἐκείνων A² **6** ὑμετέρες A² **11** Nach αὐτὸς Rasur oder Flecken, worauf von 3 Buchstaben kenntlich ε A² **18** πάντας Thdt.] πάντα A² **24** über ἐκείνοις übergeschrieben ει (?) A² **25** corr. nach Thdt. σὺ κἀκεῖνοι A² **31** δώσεις Thdt.] δώσει A²

τῶν ὑπηκόων ἐπιμελούμενος, ἀλλὰ καὶ τῶν ὑφ' ἕτερα σκῆπτρα τελούντων εἰς δύναμιν προμηθούμενος. διὰ τοῦτο καὶ αὐτὸς τῆς ἄνωθεν θείας κηδεμονίας ἀπήλαυσε. καὶ πάντων τῶν ἐν τῷ Ῥωμαίων κόσμῳ οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν βαρβάρων τὰς ἡνίας κατέχων ε,ὔνους εἶχε τοὺς ἄρχοντας καὶ ἀρχομένους καὶ τῷ χαλινῷ τοῦ αὐτοῦ πνεύματος μεθ' ἡδονῆς πειθομένους. καὶ γὰρ καὶ οἱ βάρβαροι ἑκόντες 13
λοιπὸν ⟨ἦ⟩ φόβῳ πολέμου κρατούμενοι ἐδούλευον, δεδιότες τὸν Κωνσταντίνῳ συμπαρόντα θεόν. πανταχοῦ γὰρ τρόπαια ἵσταντο, καὶ νικηφόρος ὁ βασιλεὺς κατὰ πάντων ἐδείκνυτο. ἀλλὰ ταῦτα μὲν καὶ ἄλλοι πλεῖστοι ὅσοι ἀκριβέστερον εἰς δόξαν τοῦ τῶν ὅλων θεοῦ εὐφημοῦντες συνέγραψαν, ἡμεῖς δὲ ἐπὶ τὴν ἀκολουθίαν τῆς προκειμένης ἱστορίας πάλιν τὸν λόγον ἀγάγωμεν.

Περὶ Κωνσταντίας τῆς ἀδελφῆς τοῦ πανευφήμου βασιλέως Κωνσταντίνου καὶ τοῦ παρατεθέντος αὐτῷ παρ' αὐτῆς Ἀρειανοῦ πρεσβυτέρου.

Ὁ μὲν οὖν πιστότατος βασιλεὺς Κωνσταντῖνος τῆς τῶν ἐκκλη- 12 1
σιῶν εἰρήνης προμηθούμενος τὰς τούτων φροντίδας κατὰ τὸν ἀπόστολον, ὡς πολλάκις εἰρήκαμεν, ἐν τῇ ψυχῇ περιέφερεν. οἱ δὲ τῷ δοκεῖν ἱερεῖς λεγόμενοι, ὅσοι τὴν Ἀρείου λώβην εἰσεδέξαντο, ἠρεμεῖν οὐκ ἠνείχοντο, ἄσπονδον τὸν κατὰ τῆς ἀληθείας ἀναδεξάμενοι πόλεμον, ποικίλας μηχανὰς κατὰ τῆς ὀρθῆς ἐπιτεχνώμενοι πίστεως. Κων- 2
σταντίᾳ γὰρ τῇ ἀδελφῇ τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου, γαμετῇ γεγονυίᾳ τοῦ ἀσεβοῦς Λικιννίου, ἧς καὶ ἔμπροσθεν ἐμνήσθημεν, συνέβη ἐν συντυχίᾳ γενέσθαι πρεσβύτερόν τινα ὁμόφρονα τῶν τῆς Ἀρείου βλασφημίας κοινωνῶν, θῶπα ἀκροθίνιον τοὔνομα Εὐτόκιον. καὶ τὰ μὲν πρῶτα προσεφθάρη τισὶ τῶν τῆς Κωνσταντίας 3
θεραπευτῶν, αὐτίκα δὲ καὶ αὐτῇ τῇ Κωνσταντίᾳ εἰς ὄψιν ἔρχεται. καὶ δὴ πλείστης ὅσης πρὸς αὐτῆς ἀπολαύων παρρησίας ὁμοῦ καὶ κηδεμονίας διὰ τῶν συχνοτέρων συντυχιῶν προὐχώρει αὐτῷ καὶ ἡ περὶ Ἀρείου πρὸς αὐτὴν ὁμιλία. θαρρήσας δὲ λοιπὸν συνήρπαζεν 4
αὐτὴν διὰ τῶν ἀπατηλῶν αὐτοῦ λόγων, ὡς φθόνος, φησί, μόνος τὰ κατὰ Ἀρείου εἰργάσατο. ἔπειθέ τε αὐτὴν διὰ τούτων καὶ τῶν τοιούτων ἀπατηλῶν αὐτοῦ λόγων, ὡς τὰ αὐτά φησι φρονεῖ καὶ διδάσκει

15—S. **160, 7** aus Johannes? Gelasius bietet mehr als die Parallelrecensionen Soer. I 25, Thdt. II 3, Rufin X 12 — **22** s. SS. 13, 6f. 18, 16. 147, 19 — **24f** der Name nur hier überliefert

A²

zu **7** vgl. Thdt. **8** ἵστατο Thdt. **17** τῷ Holl] τοῦ A² **27** ἀπολαύων: *v* auf Rasur (vgl. S. 155, 27) A² **31** Ἄρειον A² **32** λόγον A²

Ἄρειος ὁμοίως Ἀλεξάνδρῳ καὶ τοῖς ἀνὰ τὴν οἰκουμένην ἐπισκόποις. ἡ δὲ Κωνσταντία ἐπίστευσε τοῖς λεγομένοις αὐτῇ παρ' αὐτοῦ, μάλιστα ἀκούσασα παρ' αὐτοῦ ὁμόφρονα εἶναι τὸν Ἄρειον Ἀλεξάνδρου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, ζήλῳ δὲ τῆς παρὰ τῶν πολλῶν εὐκληρίας μάτην αὐτῷ ἐναντιοῦσθαι τὸν πάπαν Ἀλέξανδρον. γίνεται οὖν εἰσδεξαμένην τὴν Κωνσταντίαν τὰ τῆς τοῦ κατὰ Ἄρειον πρεσβυτέρου ἀπάτης ῥήματα ἡσθῆναι μὲν αὐτὴν ἐπὶ τοῖς εἰρημένοις καὶ πλείονος τὸν πρεσβύτερον ἐκεῖνον ἀξιῶσαι τιμῆς καὶ ἐν τοῖς οἰκειοτάτοις ἔχειν αὐτόν. 5

Μετ' οὐ πολὺ δὲ ἀσθενείᾳ χαλεπωτάτῃ περιέπεσεν, ἐν ᾗ καὶ ἐτελεύτησε. γνοὺς τοίνυν ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος παρεγένετο σπουδαίως πρὸς αὐτὴν ἐπισκεψόμενος αὐτήν. καὶ γὰρ μετὰ τὴν τοῦ ἀσεβοῦς ἀνδρὸς αὐτῆς τελευτὴν καὶ τὴν τῆς θεοφιλεστάτης καὶ ἀοιδίμου Ἑλένης τῆς μητρὸς αὐτῶν εἰς τὸν ἄλυπον βίον μετάστασιν πάσης αὐτὴν κηδεμονίας ἠξίου ὁ πανεύφημος οὗτος καὶ πιστότατος βασιλεύς, καὶ τῶν τῆς χηρείας ἢ ὀρφανίας ὀδυνηρῶν πεῖραν αὐτὴν λαβεῖν οὐκ ἀφῆκεν. οὗ καὶ χάριν καὶ παρ' αὐτὴν τὴν τελευτὴν τὴν ἁρμόττουσαν αὐτῇ καὶ ἀπὼν καὶ παρὼν παρεῖχε θεραπείαν. μετὰ γοῦν πολλὴν συνομιλίαν τοῦ τε βασιλέως καὶ τῆς Κωνσταντίας λέγει πρὸς αὐτὸν ἡ Κωνσταντία ἅτε πρὸς γνήσιον ἀδελφὸν θαρροῦσα· »μίαν μοι χάριν δός, ὦ πανεύφημε βασιλεῦ, ἀπερχομένῃ πρὸς τὸν θεόν«. ὁ δὲ βασιλεὺς πρὸς αὐτήν· »ποίαν, φησί, ταύτην«; ἡ δὲ Κωνσταντία πρὸς αὐτὸν ἔφη· »δέομαί σου, φησί, βασιλεῦ, ἵνα τὸν Ἄρειον ἀνεθῆναι τῆς ἐξορίας κελεύσῃς καὶ τὴν ἀπὸ συσκευῆς ἐπαναστᾶσαν αὐτῷ συμφορὰν καταστείλῃς, μηδὲ ἐν βραχεῖ ἀθώοις αἵμασι κηλίδα τῇ εὐσεβεῖ σου βασιλείᾳ προσάψῃς«. ἠνέσχετο οὖν τῆς ἀδελφῆς ὁ βασιλεὺς Κωνσταντῖνος, νομίσας αὐτὴν ἀδελφικῇ διαθέσει ταῦτα λέγειν πρὸς αὐτὸν καὶ μὴ παραπεισθεῖσαν ὑπὸ τοῦ κατὰ Ἄρειον πρεσβυτέρου, σύμβουλον ἀσφαλῆ νομίσας αὐτῷ εἶναι τὴν ἀδελφήν. καὶ τέως μὲν ἐπιβῆναι τὸν Ἄρειον τῇ Ἀλεξανδρείᾳ καὶ τῇ Αἰγύπτῳ ἐκώλυσεν, ἀνεθῆναι δὲ αὐτὸν εὐθέως τῆς ἐξορίας ἐκέλευσε διὰ τὴν τῆς Κωνσταντίας τῆς αὐτοῦ ἀδελφῆς παράκλησιν. παρέθετο δὲ αὐτῷ ἡ Κωνσταντία καὶ τὸν πρεσβύτερον ἐκεῖνον τὸν κατὰ Ἄρειον πείθεσθαι αὐτῷ τὸν βασιλέα παρακαλέσασα καὶ τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἥδεσθαι· »ὡς ἔχουσα πεῖραν αὐτοῦ τῆς ὀρθότητος, σοὶ τοῦτον, εὐσεβέστατε βασιλεῦ, παρακατατίθημι«. 6 7 8 9

12—17 vgl. Thdt. II 3, 2f p. 96

A²

6f *πρεσβύτερον* A² 25 *συσκευῆς* corr. aus *σκευῆς* A²

Καὶ δὴ ἡ μὲν Κωνσταντία τὸν ἀνθρώπειον ὑπεξέρχεται βίον· ὅ 10
γε μὴν πρεσβύτερος ἐκεῖνος ἐν τοῖς βασιλείοις εἰσέδυ, ὁ γὰρ δὴ ἡμε-
ρώτατος καὶ θεοφιλέστατος βασιλεὺς τῇ Κωνσταντίᾳ αἰτησαμένῃ
τοῦτο ποιεῖν ὑποσχόμενος, μετὰ ταῦτα πεπλήρωκε τὴν ὑπόσχεσιν
καὶ θαμὰ φοιτῶν παρ' αὐτὸν ἐκελεύετο, παρρησίας τε ὅτι μάλιστα
πλείστης αὐτῷ ὁ βασιλεὺς μετέδωκε, καὶ λίαν ἐν τοῖς οἰκειοτάτοις
τοῦ χριστοφόρου βασιλέως Κωνσταντίνου ὑπῆρχε.

Ταῦτα ἀκούσαντες Εὐσέβιος ὁ Νικομηδείας καὶ Θεόγνιος ὁ Νικαίας 11
ἔτι ἐν τῇ ἐξορίᾳ διάγοντες, θαρρήσαντες γράφουσι βιβλίον μετανοίας
δῆθεν καὶ πέμπουσι τοῖς κορυφαιοτάτοις τῶν ἐπισκόπων ἀνακληθῆναι
τῆς ἐξορίας αἰτοῦντες, διαβεβαιούμενοι λόγῳ, οὐ τρόπῳ, ὡς καὶ τὸ
πρότερον, δέχεσθαι καὶ κρατεῖν τὴν ἐν Νικαίᾳ πίστιν. καὶ δὴ 12
χρηστευσαμένων εἰς αὐτοὺς τῶν ἐπισκόπων τῶν τὸ βιβλίον τῆς ἐπι-
πλάστου μετανοίας αὐτῶν δεξαμένων, καὶ τῆς ἐξορίας κατὰ παρά-
κλησιν ἀνεκλήθησαν ἐκ βασιλικοῦ προστάγματος καὶ τὰς ἐκκλησίας
ἐξ ὧν ἐξηλάθησαν, ἀπειλήφασι, τοὺς εἰς τὸν αὐτῶν τόπον χειροτο-
νηθέντας ἐπισκόπους ἐξωθήσαντες, Ἀμφίονα μὲν Εὐσέβιος, Χρῆστον
δὲ Θεόγνιος.

Καλὸν δ' ἂν εἴη καὶ αὐτοῦ τοῦ βιβλίου τῆς γόθου αὐτῶν μετα- 13
νοίας τὸ ἀντίγραφον ἐντάξαι τῇδε τῇ συγγραφῇ. ἔστι δὲ οὕτως·

Βιβλίον ἐπιπλάστου μετανοίας Εὐσεβίου τοῦ Νικομηδείας καὶ Θεογνίου Νικαίας.

»Ἤδη μὲν καταψηφισθέντες παρὰ τῆς ὁσιότητος ὑμῶν ἐν ἡσυχίᾳ 13 1
»φέρειν τὰ κεκριμένα παρὰ τῆς ἁγίας ὑμῶν ἐπικρίσεως ὠφείλομεν.
»ἀλλ' ἐπειδὴ τόπον δίδομεν καθ' ἑαυτῶν διὰ τῆς σιωπῆς, τούτου
»ἕνεκεν ἀναφέρομεν ἐπὶ τὴν ἁγιότητα ὑμῶν, ὅτι ἡμεῖς καὶ τῇ ἁγίᾳ
»ὑμῶν συνόδῳ συνεδριάμομεν καὶ τὴν ἔννοιαν ἐξετάσαντες ἐπὶ τῷ
»ὁμοουσίῳ ὅλοι ἐγερόμεθα τῆς εἰρήνης, μηδαμοῦ τῇ αἱρέσει ἐξακολου-
»θήσαντες. ὑπομνήσαντες δὲ ἐπὶ ἀσφαλείᾳ τῶν ἐκκλησιῶν ὅσα τὸν 2
»λογισμὸν ἡμῶν ὑπέτρεχε, καὶ πληροφορήσαντες καὶ πληροφορηθέν-
»τες τοὺς δι' ἡμῶν πεισθῆναι ὀφείλοντας ὑπεσημηνάμεθα τῇ πίστει·
»τῷ δὲ ἀναθεματισμῷ οὐχ ὑπεγράψαμεν, οὐχ ὡς τῆς πίστεως κατη-
»γοροῦντες, μὴ γένοιτο, ἀλλ' ὡς ἀπιστοῦντες τοιοῦτον εἶναι τὸν
»κατηγορηθέντα ἐκ τῶν ἤδη παρ' αὐτοῦ πρὸς ἡμᾶς διά τε ἐπιστολῶν

4—6 vgl. Thdt. II 3, 6 p. 97 — 8—20 vgl. Socr. I 14, 1 p. 97. Philostorg. I 9 p. 10, 2ff (Bidez) — 11 s. S. 104, 13 — 22—S. 161, 26 vgl. Socr. I 14, 2ff p. 97ff

A²

16 l. αὐτῶν] αὐτὸν A² 17 χριστὸν A² vgl. S. 119, 16 22 ἤδη Socr.] ἔδει A² 33 ἤδη] ἰδίᾳ Socr.

»αὐτοῦ καὶ τῶν εἰς πρόσωπον διαλέξεων πεπληροφορημένοι μὴ τοι-
»οῦτον εἶναι αὐτόν. εἰ δὲ ἐπείσθη ἡ ἁγία ὑμῶν σύνοδος, οὐκ ἀντι- 3
»τείνομεν, ἀλλὰ συγκατατιθέμενοι τοῖς παρ' ὑμῶν κεκριμένοις πληρο-
»φοροῦμεν, καὶ διὰ τοῦδε τοῦ γράμματος τὴν συγκατάθεσιν διδόντες,
»οὐ τὴν ἐξορίαν βαρέως φέροντες, ἀλλὰ τὴν ὑπόνοιαν τῆς αἱρέσεως
»ἀποδυρόμενοι. εἰ γὰρ καταξιώσητε νῦν γοῦν εἰς πρόσωπον ὑμῶν 4
»ἐπαναλαβεῖν ἡμᾶς, ἔξετε ἐν ἅπασι συμψύχους ἀκολουθοῦντας τοῖς
»παρ' ὑμῶν κεκριμένοις. εἰ γὰρ αὐτὸν τὸν ἐπὶ τοῖς τῆς αἱρέσεως
»ἐναγόμενον ἔδοξε τῇ ὑμῶν ἁγιωσύνῃ χρηστευθῆναι παρὰ τοῦ εὐσε-
»βεστάτου ἡμῶν βασιλέως καὶ φιλανθρωπίας ἀξιωθῆναι, καὶ τῆς
»ἐξορίας τοῦτον ἐλευθερωθῆναι ἐπρεσβεύσασθε, πόσῳ μᾶλλον ἡμᾶς
»τοὺς ἀνευθύνους δίκαιον ἀξιωθῆναι καὶ τῆς ἐκ τῆς ἐξορίας ἐλευθε-
»ρίας καὶ τῆς πρὸς τὴν ὑμετέραν ὁσιότητα ἀναζεύξεως. ἄτοπον 5
»γὰρ ἂν εἴη τοῦ δοκοῦντος ὑπευθύνου ἀνεθέντος ἡμᾶς ἐπισιωπᾶν,
»διδόντας καθ' ἑαυτῶν διὰ τῆς σιωπῆς, ὡς προειρήκαμεν, ἐναργεῖς
»τοὺς ἐλέγχους. καταξιώσατε οὖν, παρακαλοῦμεν, ὡς ἁρμόζει τῇ
»φιλοχρίστῳ ὑμῶν ὁσιότητι, ὑπομνῆσαι περὶ τούτου τὸν θεοφιλέστα-
»τον ἡμῶν βασιλέα καὶ τὰς δεήσεις ἡμῶν ἐγχειρίσαι καὶ θᾶττον
»βουλεύσασθαι περὶ ἡμῶν τὰ ὑμῖν ἁρμόζοντα ἐφ' ἡμῖν, ἁγιώτατοι«.

Τοῦτο μὲν τῆς παλινῳδίας τὸ βιβλίον Εὐσεβίου καὶ Θεογνίου 6
τῶν προρρηθέντων ἐστίν. ἀπὸ μὲν τῶν ῥημάτων αὐτῶν φαίνονται,
ὅτι τῇ μὲν ὑπαγορευθείσῃ ἐν τῇ Νικαέων ὑπὸ τῆς ἐκεῖσε ἁγίας συν-
όδου πίστει ὑπεσημήναντο χειρὶ μόνῃ, οὐ προθέσει, καθὼς καὶ
προαποδέδεικται· τῇ δὲ κατὰ Ἀρείου καθαιρέσει καὶ τῷ κατ' αὐτοῦ
ἀναθεματισμῷ σύμψηφοι γενέσθαι τῇ ἁγίᾳ συνόδῳ οὐκ ἠθέλη-
σαν. τῆς μέντοι ἐξορίας ἐκ σπουδῆς τῶν τὰς δεήσεις αὐτῶν δεξα- 7
μένων ἐπισκόπων ἀπελύθησαν, καὶ τὰς πρότερον παροικίας αὐτῶν,
καθάπερ καὶ ἀνωτέρω μοι εἴρηται, καταλαβόντες καὶ μόνον ὡς εἰπεῖν
ταύτας θεασάμενοι, σπουδῇ ὅτι μάλιστα πλείστῃ χρησάμενοι ἐπὶ τὸ
στρατόπεδον ὥρμησαν καὶ φθάσαντες τὴν Κωνσταντινούπολιν εἰσπη-
δᾶν εἰς τὰ βασίλεια κατεθάρρυνν, πεποιθότες ταῖς τοῦ πρεσβυτέρου
ἐκείνου προστασίαις, οὗπερ ἡ Κωνσταντία τῷ θεοφιλεστάτῳ Κων-
σταντίνῳ ὡς γνησία αὐτοῦ ἀδελφὴ παρέθετο, πλείστης ὅσης θερα-
πείας καὶ τιμῆς ἀξιουμένου παρὰ τοῦ βασιλέως. ἀλλ' ὅμως καὶ 8

23 s. S. 104, 13 — **26**—S. **162**, **20** Johannes? — **28** vgl. S. 160, 15 ff — **32** vgl. S. 159, 33 f

A²

10 *φλανθρωπίας* A² **12** das *ἀ* in *ἀνευθύνους* von 1. Hd. nachträglich zugefügt, das Wort am Rand von anderer Hd. wiederholt A² **20** *τὸ βιβλίον* Socr.] *τοῦ βιβλίου* A² **24** *κατὰ*>Socr. | *κατ' αὐτοὺς* A² **32** *οὗπερ attrahiert statt ὕνπερ*

οὗτος οὐκ ἐθάρρει, ὡς ἤδη προέφην, ἀποκαλύπτειν τὴν ἔνδοθεν ἐγκειμένην αὐτῷ Ἀρειανὴν αἵρεσιν, θεωρῶν θερμοτάτην περὶ τὰ θεῖα καὶ τὴν τῆς ἀληθοῦς πίστεως ἀκρίβειαν τὴν τοῦ βασιλέως ψυχήν. τὸν 9
μέντοι Εὐσέβιον σὺν Θεογνίῳ πρὸς τὸν βασιλέα εἰσήγαγε, κρύψαι αὐτοῖς παρεγγυήσας ἐπὶ τοῦ παρόντος τὴν τῆς ἀσεβοῦς Ἀρείου αἱρέσεως νόσον, πολλά τε ὑπὲρ αὐτῶν τὸν βασιλέα ἐδυσώπησε μεταδιδόναι αὐτοῖς παρρησίας, μάλιστα Εὐσεβίῳ, τὰ ἐν τῇ συνόδῳ λεχθέντα φρονεῖν αὐτοὺς μαρτυρόμενος.

Καὶ δὴ τὴν ἀλήθειαν ὁ τῆς ἀληθείας ἀληθῶς ἐχθρὸς ἔλεγεν. ἃ 10
γὰρ ἐκεῖ δυσφημοῦντες ὑπεγόγγυζον, ταῦτα ὁ θώπαξ φρονεῖν αὐτοὺς ἔλεγεν. ὁ δὲ βασιλεὺς ἔμφυτον ἔχων τὸ καλοκἀγαθὲς καὶ πολλὴν πρὸς τοὺς ἱερωμένους αἰδῶ καὶ τὴν ἀμνησίκακον καρδίαν τοῦ μεγάλου βασιλέως ὁμοῦ καὶ προφήτου Δαυὶδ κεκτημένος καὶ μήτε ἐν νῷ λαβεῖν ἀνασχόμενος τὰς κατ' αὐτοῦ τετολμημένας ὑπὸ Εὐσεβίου ἐπιβουλὰς ἐπὶ τοῦ ἀσεβοῦς Λικιννίου, προσεδέξατο αὐτοὺς εὐμενῶς καὶ εὐλαβῶς ὡς ἱερεῖς τοῦ θεοῦ, καὶ τιμῆς πλείστης ὅσης αὐτοὺς καὶ ἀσπασμοῦ ἠξίωσε, καὶ συχνότερον ἥκειν αὐτοὺς πρὸς αὐτὸν ἐκέλευσε. τῶν δὲ ὁσημέραι προκοπτόντων εἰς τὴν ⟨πρὸς⟩ τὸν τὰ πάντα 11
ἄριστον βασιλέα Κωνσταντῖνον παρρησίαν, δυσωποῦσι τὸν πρεσβύτερον ἐκεῖνον τὸν κατὰ Ἄρειον ἄρξασθαι αὐτὸν εἰς τὰς ὑπὲρ Ἀρείου πρὸς τὸν βασιλέα παρακλήσεις τοῦ ἀξιῶσαι αὐτὸν τῶν αὐτοῦ ὄψεων, συστῆναι αὐτῷ δυνάμενον καὶ δεῖξαι τὰ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων φρονοῦντα.

Ὁ δὲ πρεσβύτερος, εἴξας ταῖς Εὐσεβίου καὶ Θεογνίου παρακλή- 12
σεσιν, ἄρχεται τῶν ὑπὲρ Ἀρείου πρὸς τὸν βασιλέα λόγων, ὡς ἐκ προσώπου τῶν προρρηθέντων τὰ πλεῖστα λέγων, ὅτι πᾶσι τοῖς ἐν τῇ συνόδῳ συντίθεσθαι αὐτὸν φάσκουσι καὶ τῇ ἐκεῖσε ἐκφωνηθείσῃ πίστει ἀρέσκεσθαι. τῷ δὲ βασιλεῖ ξένα κατεφαίνετο τὰ περὶ τοῦ Ἀρείου παρὰ τοῦ πρεσβυτέρου λεγόμενα. τοῦτο δὲ ἐποίει ἐπὶ πλεί- 13
στας ἡμέρας, τοῦτο μὲν κατ' ἰδίαν τοῦτο δὲ καὶ παρόντος τὰ πλεῖστα Εὐσεβίου τοῦ Νικομηδείας· συχνότερον γὰρ αὐτὸν ὁ βασιλεὺς μετεπέμπετο, οὐ γὰρ ἐμέμνητο τῶν πάλαι κατ' αὐτοῦ ὑπὸ τοῦ ἀσεβοῦς Εὐσεβίου τούτου δραματουργηθέντων ὁ πιστότατος βασιλεύς. τῇ 14
τοίνυν εὐτεχνίᾳ τῶν ἀπατηλῶν αὐτοῦ λόγων ὁ Εὐσέβιος πείθει διά τε τοῦ πρεσβυτέρου καὶ δι' ἑαυτοῦ τὸν φιλανθρωπότατον καὶ ἐπιεικέστατον βασιλέα κληθῆναι κελεῦσαι παρ' αὐτὸν τὸν Ἄρειον, διαβε-

1 vgl. S. 158f. — **12** vgl. S. 46, 1 — **21**—S. **163**, **26** Johannes? teilweise bei Socr. I 25, 5f. 9—11 p. 137ff — **32** vgl. o. S. 13

A²

8 μαρτυρόμενος corr. aus μαρτυράμενος A² **9** ἐχθρὸς am Rand von späterer Hd. nachgetragen A² **18** corr. Cer. **21** τοῦ Holl] καὶ A²

βαιούμενος ἐλθόντα αὐτὸν εἰς πρόσωπον τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου συντίθεσθαι καὶ αὐτὸν πᾶσι τούτοις, οἷς καὶ ἡ σύνοδος καὶ ἡμεῖς, φησί, συνεθέμεθα. ἄπιστα καταφαίνεται ταῦτα τῷ βασιλεῖ, ἀλλ' ὑπὸ τῆς προσούσης αὐτῷ θεοφιλοῦς ἐπιεικείας καὶ τῆς περὶ τῶν ἐκκλησιῶν ὁμοροίας σπουδῆς ἡπτημένος, ὡς ἱερεῦσιν πιστεύσας, τάδε ἔφη πρὸς αὐτούς· »εἰ Ἄρειος συντίθεται τῇ συνόδῳ καὶ ἀληθῶς τὰ ἐκείνης φρονεῖν ἕλοιτο, δέξομαί τε αὐτὸν εἰς πρόσωπον καὶ σὺν τιμῇ ἐκπέμψω εἰς Ἀλεξάνδρειαν«. ταῦτά τε ἔλεγε καὶ διὰ γραμμάτων μετάπεμπτον αὐτὸν ἐπὶ τὸ κομιτάτον γενέσθαι ἐκέλευσεν. 15

Ὁ δὲ Ἄρειος τῶν τοῦ βασιλέως ἀξιωθεὶς γραμμάτων αὖθις φθάσαι τὴν Κωνσταντινούπολιν ἔσπευσε. συμπαρῆν δὲ αὐτῷ καὶ Εὐζώϊος, ὃν σὺν αὐτῷ καθεῖλεν ὁ θεῖος Ἀλέξανδρος ὁ τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας ἐπίσκοπος. ἀναφέρεται δῆτα ἐπὶ τὸν εὐσεβῆ βασιλέα διὰ τοῦ πρεσβυτέρου ἐκ σπουδῆς τῶν περὶ Εὐσέβιον τὸν Νικομηδέα παρεῖναι τὸν Ἄρειον. δέχεται οὖν αὐτὸν σὺν Εὐζωΐῳ εἰς πρόσωπον καὶ διεπυνθάνετο παρ' αὐτῶν ὁ βασιλεύς, εἰ τῇ ἐν τῇ Νικαέων παρὰ τῶν τριακοσίων ἁγίων πατέρων ἐκτεθείσῃ πίστει συντίθενται. ὁ δὲ Ἄρειος ἐνωμότως ἔλεγεν οὕτως ἀεὶ πεπιστευκέναι καὶ πιστεύειν, καθὼς καὶ οἱ ἐν Νικαίᾳ ἅγιοι ἡμῶν πατέρες, καὶ πάντες δὲ οἱ σὺν ἡμῖν οὕτως πιστεύουσιν — ἔλεγε δὲ τοὺς περὶ Εὐσέβιον τὸν Νικομηδέα καὶ Θεόγνιον τὸν αὐτῆς Νικαίας, ὥσπερ εὐορκῶν πρὸς ἀπάτην καὶ πειθὼ τῆς τοῦ φιλοχρίστου βασιλέως ἁπλότητος. ταῦτα ἐνωμότως τοῦ Ἀρείου εἰπόντος, εἰς ἔκστασιν τὸν θεοφιλέστατον καὶ ἐπιεικέστατον βασιλέα ἤγαγεν, ὥστε αὐτὸν εὐθὺς καὶ παραχρῆμα εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς ἐκπέμψαι τὸν Ἄρειον. καταλαβόντα οὖν αὐτὸν τὴν Ἀλεξάνδρειαν ὁ ἐπίσκοπος οὐκ ἐδέχετο αὐτόν, παρορμῶντος αὐτὸν Ἀθανασίου, ὡς μῦσος γὰρ αὐτὸν ἐξετρέπετο. τότε δὴ οἱ περὶ Εὐσέβιον αὐτοί τε ἔγραφον ὑπὲρ Ἀρείου καὶ τὸν βασιλέα γράφειν ἐπιπληκτικώτερον Ἀλεξάνδρῳ καὶ Ἀθανασίῳ παρεσκεύαζον. Ἀθανάσιος μὲν οὖν πάντη τὸ δέξασθαι Ἄρειον καὶ τοὺς σὺν αὐτῷ ἀπηγόρευε καὶ τὸν βασιλέα γράφων σὺν τῷ ἐπισκόπῳ ἐδίδασκεν, ἀδύνατον εἶναι λέγων τοὺς ἅπαξ τὴν πίστιν ἀθετήσαντας καὶ ὑπὸ τοσαύτης ἁγίας συνόδου καὶ τῆς σῆς θεοφιλοῦς εὐσεβείας ἀναθεματισθέντας καὶ κατακριθέντας αὖθις ἐξ ἐπιστροφῆς προσλαμ- 16 17 18 19 20 21

23—S. 164, 12 vgl. Vita Athan. 2 p. CXXXVIIIb Montf. — **26—S. 164, 10** vgl. Socr. I 27, 1—4 p. 143f

A²

5 möglich auch die Lesung ἠττημένος A² | ἱερεῦσιν Klosterm. nach S. 173, 2] ἱερεὺς εἴη A² **20** ἡμῶν am Rand von späterer Hd. A² **27** ὁ ἐπίσκοπος] Ἀθανάσιος Socr.

βάνεσθαι. τότε ὁ βασιλεὺς βαρέως ἐνεγκὼν καὶ εἰς ὀργὴν ὑπὸ τῶν 22
περὶ τὸν Εὐσέβιον τὸν Νικομηδέα κινηθεὶς τάδε Ἀθανασίῳ γράφων
ἠπείλησεν·

Μέρος τῆς πρὸς Ἀθανάσιον ἐπιστολῆς τοῦ βασιλέως.

»Ἔχων τοίνυν τῆς ἐμῆς βουλῆς τὸ γνώρισμα, πᾶσι τοῖς βουλο- 14
»μένοις εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν ἀκώλυτον πάρασχε τὴν εἴσοδον.
»ἐὰν γὰρ γνῶ, ὡς κεκώλυκας τινὰς τῆς ἐκκλησιαστικῆς μεταποιουμέ-
»νους πίστεως ἢ ἀπεῖρξας τοὺς τοιούτους τῆς εἰσόδου, ἀποστελῶ
»παραχρῆμα τὸν καθαιρήσοντά σε ἐξ ἐμῆς κελεύσεως καὶ τῶν τόπων
»μεταστήσοντα«.

Ὁμοίως δὲ καὶ Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ ὑπὲρ Ἀρείου τὰ ἴσα
ἔγραφεν·

Ἐπιστολὴ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου πρὸς Ἀλέξανδρον ἐπίσκοπον Ἀλεξανδρείας.

»Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς πατρὶ Ἀλεξάνδρῳ 15 1
»ἐπισκόπῳ.

»Καὶ νῦν ἄρα ὁ παμμίαρος φθόνος ἀνοσίοις ὑπερθέσεως σοφίσμα-
»σιν ἀνθυλακτήσει· τί οὖν πρὸς τὸ παρόν; ἕτερα παρὰ τὰ ὑπὸ τοῦ
»ἁγίου πνεύματος δι' ὑμῶν κεκριμένα δογματίζομεν, ἀδελφὲ τιμιώ-
»τατε; Ἄρειον Ἄρειον ἐκεῖνον λέγω πρὸς ἐμὲ τὸν Σεβαστὸν ἐλθεῖν 2
»ἐκ παρακλήσεως πλείστων ὅσων, ἐκεῖνα φρονεῖν περὶ τῆς καθολικῆς
»πίστεως ἡμῶν ἐπαγγελλόμενον, ἅπερ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ
»δι' ὑμῶν ὡρίσθη καὶ ἐκρατύνθη, παρόντος καὶ συνορίζοντος κἀμοῦ
»τοῦ ὑμετέρου συνθεράποντος. παραχρῆμα οὖν οὗτος ἅμα σὺν Εὐ- 3
»ζωΐῳ, γνόντες δηλονότι τὴν τοῦ βασιλικοῦ προστάγματος βούλησιν,
»ἀφίκοντο πρὸς ἡμᾶς. διελέχθην οὖν αὐτοῖς παρόντων πλειόνων
»περὶ τοῦ λόγου τῆς ζωῆς. ἐγώ εἰμι ὁ ἄνθρωπος ἐκεῖνος, ὃς τὸν
»νοῦν τὸν ἐμαυτοῦ μετὰ πίστεως εἰλικρινοῦς ἀνέθηκα τῷ θεῷ· ἐγώ
»εἰμι ὁ ὑμέτερος συνθεράπων, ὃς πᾶσαν τὴν περὶ τῆς ἡ ... καὶ ὁμονοίας
»ἐπανήρημαι φροντίδα. καὶ μεθ' ἕτερα· ἀπέστειλα τοιγαροῦν οὐ 4
»μόνον ἀναμιμνήσκων, ἀλλὰ καὶ ἀξιῶν ὑποδέξασθαι τοὺς ἀνθρώπους
»ἱκετεύοντας. εἴπερ οὖν τῆς ἐν Νικαίᾳ ἐκτεθείσης ὀρθῆς καὶ εἰς ἀεὶ
»ζώσης ἀποστολικῆς πίστεως ἀντιποιουμένους αὐτοὺς εὕρητε — τοῦτο
»γὰρ καὶ ἐφ' ἡμῶν φρονεῖν διεβεβαιώσαντο — προνοήσατε πάντων,

15—S. 165, 6 Johannes? vgl. Rhein. Mus. LXI, 44 ff

A²

2 γράφων Socr.] γράφειν A² 29 Unleserliche Stelle; etwa ἡμετέρας εἰρήνης A², vgl. 165, 5 33 εὕρητε mit iota adscr. A²

»παρακαλῶ. ἐὰν γὰρ τούτων ποιήσητε πρόνοιαν, τὰ μίση τῇ ὁμο-
»νοίᾳ νικήσητε ἄν. ἐπικουρήσατε οὖν, παρακαλῶ, τῇ ὁμονοίᾳ, 5
»συνεισενέγκατε τὰ τῆς φιλίας καλὰ πρὸς τοὺς τὰ τῆς πίστεως μὴ
»διακρινομένους, ποιήσατέ με ἀκοῦσαι ταῦτα. ἅπερ βούλομαι καὶ ἐπι-
5 »θυμῶ, τὴν τῶν πάντων ὑμῶν εἰρήνην καὶ ὁμόνοιαν. ὁ θεός σε
»διαφυλάξει, πάτερ τιμιώτατε«.

Ταῦτα ἔγραφεν ὁ βασιλεύς, τοῦ λυσιτελοῦς γινόμενος καὶ μὴ 6
βουλόμενος τὴν ἐκκλησίαν διασπᾶσθαι, τοὺς γὰρ πάντας ἐπὶ τὴν
ὁμόνοιαν ἄγειν ἐσπούδαζε.

10 *Δεξάμενος δὲ ὁ θεῖος Ἀλέξανδρος τὰ τοῦ βασιλέως γράμματα* 7
καὶ ὀλίγον ἐπιβιώσας χρόνον μακαρίῳ τέλει μεταλλάττει τὸν βίον,
ἐπισκοπήσας τὴν ἐν Ἀλεξανδρείᾳ τοῦ θεοῦ ἐκκλησίαν τὰ ὅλα ἔτη ις'·
πρὸ μὲν τῆς ἐν Νικαίᾳ συνόδου ἔτη θ' μῆνα ἕνα καὶ τὰ ἐν τῇ συν-
ὁδῳ ἔτη τρία μῆνας ς' καὶ μετὰ τὴν σύνοδον ἔτη γ' μῆνας ε', ὁμοῦ
15 *τὰ πάντα ἔτη ις'. Ἀθανάσιος δὲ τῆς ἱερωσύνης τὴν λειτουργίαν* 8
ὑπεδέξατο· οἷος δὲ ἦν νουνεχείᾳ καὶ τῇ εὐσεβείᾳ καὶ τῇ κατὰ τὴν
ἐκκλησίαν διατυπώσει, τὰ ἑξῆς ἡμῖν δηλώσει. γνόντες τοίνυν οἱ 9
αἱρετικοί, ὅτι τῆς ἐκκλησίας ἐξάρχει ὁ θεῖος Ἀθανάσιος, τὰ μὲν πρῶτα
συνέπεσον, αὖθις δὲ οὕτως αὐτῷ μιᾷ γνώμῃ συμβάλλουσιν, ὥστε, εἰ χρὴ
20 *λέγειν, τὸ μνημόσυνον αὐτοῦ ἐκ τῆς γῆς περιελεῖν, καθὼς οἱ Ἰουδαῖοι*
κατὰ τοῦ Χριστοῦ ἐλογίσαντο. παραχρῆμα γὰρ βασιλικαῖς κατ' αὐτοῦ
διατάξεσι χρήσασθαι τὸν θεοφιλέστατον βασιλέα πείθειν ἐσπούδαζον.

Χρὴ δὲ ἡμᾶς πρῶτον περὶ τῆς ἐκ παιδὸς διαγωγῆς τοῦ ἀνδρὸς 10
μικρὰ διηγήσασθαι. τοῦ γοῦν μακαρίου Ἀλεξάνδρου μετὰ τὸν μακά-
25 *ριον Ἀχιλλᾶν τὴν ἀρχὴν τῆς ἱερωσύνης ἐγχειρισθέντος καὶ τὸν κλῆ-*
ρον μετὰ τὴν τοῦ ἁγίου Πέτρου τοῦ ἐπισκόπου καὶ μάρτυρος σύνα-
ξιν τῆς ἀθλήσεως αὐτοῦ εἰς ἑστίαν προτρεψαμένου καὶ περιμένοντος
ἕως ἂν συναθροισθῶσιν, ἑστὼς ἐξ ἀπόπτου ὁρᾷ παῖδας ἐκκλησιαστικῷ
κανόνι παίγνιον ὑπεισελθόντας. ἦν δὲ ὁ οἶκος πρὸς θάλασσαν 11
30 *τετραμμένος, ἧς παρὰ τὰς ὄχθας ἔπαιζον οἱ ἱεροὶ παῖδες, ἐν οἷς ἦν*
ἐπίσκοπος Ἀθανάσιος καὶ συνήλυδες ἄλλοι πρεσβύτεροι καὶ διάκονοι,
οἳ καὶ προσῆγον αὐτῷ παῖδας κατηχουμένους ἐπὶ τῷ βαπτισθῆναι
αὐτοὺς ὑπ' αὐτοῦ· οὓς πάντας τύπῳ ἐκκλησιαστικῷ βαπτίσας ὡς
ἐπίσκοπος ὁ Ἀθανάσιος ἠβούλετο λόγον αὐτοῖς διδασκαλικὸν προσ-

7—9 vgl. Socr. I 27, 5 p. 144 — **7—17** vgl. Vita Athan. 2 p. CXXXVIII[d] Montf. — **10—22** Die Datierung weicht von den Angaben des Socrates, Theodoret, Rufin ab; vgl. S. 44, 5 und 134, 24. Quelle Johannes? — **21** vgl. Mark. 15, 2 — **23—S. 166, 29** vgl. Rufin X 15 p. 980ff. Vita Athan. 1 p. CXXXVII[b] Montf.

A[2]

1 f *τῆς ὁμονοίας* A[2] **6** *διαφυλάξαι* A[2] **20** *Ἰουδαῖοι* + *οἱ* A[2], corr. Holl

ενεγκεῖν. ἐκστὰς οὖν ἐπὶ τοῖς γινομένοις ὁ θεῖος Ἀλέξανδρος, 12
ἄγεσθαι πρὸς αὐτὸν κελεύει τοὺς παῖδας· καὶ ἐπιγνοὺς ἅπαντα ὡς
ἐγένοντο γνώμῃ τῶν σὺν αὐτῷ κληρικῶν τοὺς μὲν βαπτισθέντας
παῖδας σφραγίσας τῇ ἐν Χριστῷ σφραγίδι καὶ ἐπιχρίσας τοῖς ἁγίου
τοῦ σωτηρίου βαπτίσματος συμβόλοις ἐτελείωσε· τὸν δὲ Ἀθανάσιον
τοῖς γονεῦσιν αὐτοῦ Ἀθανασίου συγκαλέσας παρέθετο, παιδεῦσαι
γράμματα κελεύσας καὶ ἐν κυρίῳ προβιβάζειν ὅτι μάλιστα, προβάντα
δὲ αὐτὸν ἀποδοῦναι αὐτῷ, μᾶλλον δὲ τῇ ἐκκλησίᾳ ἐκέλευσεν, ὡς ἡ
Ἄννα φησὶ τὸν Σαμουὴλ προσήγαγεν. προβάντος οὖν τοῦ καιροῦ 13
προσφέρουσιν οἱ γονεῖς τῷ ἐπισκόπῳ Ἀλεξάνδρῳ τὸν Ἀθανάσιον,
ὃπερ εὐθέως ὁ ἐπίσκοπος τὸ ἱερατικὸν ἐφοὺδ περιτίθησι, νέον αὐτὸν
Σαμουὴλ τῇ ἐκκλησίᾳ προβιβάζων εἰς ἄμυναν τῶν ἀληθῶς ἀλλοφύ-
λων. καὶ γὰρ πολλοὺς ἀγῶνας ὑπέμεινεν ὑπὲρ τῶν αἱρετικῶν, οἵτινες
καὶ συνωμοσίαν ποιήσαντες ⟨ἦσαν⟩ οὐ τεσσαράκοντα ἄνδρες μόνον κατὰ
τὸν ἱερὸν ἀπόστολον Παῦλον, ἀλλὰ πᾶν τὸ πλῆθος τῶν αἱρετικῶν,
μάλιστα τῶν Ἀρειομανιτῶν. τὸ ἀνὰ πᾶσαν τὴν οἰκουμένην, τοῦ Ἀθα-
νασίου μετὰ τοῦ Δαυὶδ ψάλλοντος καὶ λέγοντος· »ἐὰν παρατάξη- 14
ται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν
ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω στέφανον
νίκης περιθέσθαι«, δηλαδὴ ποθήσας λαβεῖν παρὰ κυρίου τοῦ καὶ
πρὸς αὐτὸν εἰρηκότος· »θάρσει, καὶ μὴ φοβοῦ· ὅτι ἐγώ εἰμι
μετὰ σοῦ, καὶ οὐ προσθήσει τις τοῦ κακῶσαί σε«.

Ἐπειδὴ οὖν τὰ πολλὰ τῶν συμβεβηκότων αὐτῷ ὑφηγήσασθαι 15
φεύγομεν, μήπως κόπον ἐμποιήσωμεν τοῖς ἐντευξομένοις τῷδε τῷ
γράμματι τὸν λόγον μηκύνοντες (ἄπειρα γάρ εἰσιν ἅπερ ὑπέστη διω-
κόμενος ὑπὸ τῶν ἀσεβεστάτων αἱρετικῶν) ταῖς ἐπισημοτέραις αὐτοῦ
πράξεσιν ἀρκεσθησόμεθα, αἳ καὶ παρὰ πᾶσι τοῖς γνωρίμοις τοῦ ἀνδρὸς
ᾄδονται. παραυτὰ γὰρ εὐθὺς προστάντος αὐτοῦ, ὥσπερ ἔφαμεν, 16
τῆς ἐκκλησίας, οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας ἀπεχθῶς λίαν πρὸς
αὐτὸν τὸν Ἀθανάσιον ἔχοντες, τότε δὴ καιρὸν εὔκαιρον τοῦ ἰδίου
σκοποῦ τὴν τοῦ βασιλέως κατὰ τοῦ μεγάλου Ἀθανασίου λύπην λα-
βόντες, ὡς ἐνόμιζον, πάντα κατ᾽ αὐτοῦ τολμῶντες ἐκύκων ἀποκινῆ-
σαι αὐτὸν τῆς ἐπισκοπῆς σπουδάζοντες, καταψηφιζόμενοι τοῦ ἀνδρὸς
ὡς ἀναξίως ὑπεισελθόντος τὴν ἱερωσύνην. οὕτω γὰρ μόνως ἤλπι-
ζον τὴν Ἀρειανὴν δόξαν κρατήσειν, εἰ Ἀθανάσιον ἐκποδὼν ποιήσουσι.

9 vgl. I Kön. 1, 24 — **14** vgl. Act. 23, 12 — **17** Psal. 26, 3 — **21** II Kön. 7, 10 — **28**—S. **167**, **32** vgl. Vita Athan. III 2 p. CXXXVIIIe Montf. — **30**—S. **167**, **25** vgl. Socr. I 27, 6ff p. 145ff

A²

3 *conlocutus cum concilio clericorum statuisse traditur* Ruf. **14** erg. Hei

Συμφράττονται οὖν κατ' αὐτοῦ οἱ προρρηθέντες τῆς Ἀρειανικῆς 17
ἀσεβοῦς αἱρέσεως Ὁσίωνα Εὐδαίμονα Καλλίνικον, καὶ διαφόρους κατη-
γορίας κατὰ τοῦ θείου Ἀθανασίου δι' αὐτῶν ἐκίνησαν. καὶ πρῶτον
μέν, ὅτι Ἀθανάσιος, φησί, ὑπεισελθὼν τὴν ἐπισκοπὴν λυτῆ ἐσθῆτα
τελεῖν τοὺς Αἰγυπτίους τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ ἐκέλευσε· δευτέραν
ἐπισυρράπτουσιν διαβολὴν τῆς προτέρας χείρονα, ὅτι Ἀθανάσιος ἐπι-
βουλεύων τοῖς τοῦ βασιλέως προστάγμασι Φιλουμένῳ τινί, φησί,
γλωσσόκομον ἔπεμψε πλῆρες χρυσίου πρὸς ἀντίστασιν τοῦ βασιλέως
Κωνσταντίνου· τρίτον Ἰσχύρας τις οὕτω καλούμενος πρᾶγμα ὑπέδυ 18
πολλῶν θανάτων ἄξιον· οὐδέπω γάρ ποτε ἱερωσύνης τυχὼν τὸ τοῦ
πρεσβυτέρου ὄνομα ἑαυτῷ περιθεὶς τὰ ἱερέων πράττειν ἐτόλμησεν ἐν
ταῖς κώμαις τοῦ λεγομένου Μαρεώτου. ἐν τούτῳ δὴ καὶ ὁ ἅγιος
Ἀθανάσιος ὁ ἐπίσκοπος, καταλαβὼν τὸν Μαρεώτην, τὰς ἐκεῖσε ἐκκλη-
σίας ἐπεσκέπτετο, καὶ μαθὼν τὰ περὶ Ἰσχύραν ἀποστέλλει Μακάριον
τὸν πρεσβύτερον ἐποπτεῦσαι, εἰ ἀληθῆ εἰσὶ τὰ λεγόμενα. ὅθεν φωρα-
θεὶς ὁ Ἰσχύρας, ἀποδρὰς ἐκεῖθεν φυγῇ τε εὐτόνῳ χρησάμενος, κατα-
λαμβάνει τὴν Νικομήδειαν καὶ προσφεύγει τοῖς περὶ Εὐσέβιον. οἱ 19
δὲ μίσει τῷ πρὸς Ἀθανάσιον δέχονται μὲν αὐτὸν ὡς πρεσβύτερον,
ἐπαγγέλλονται δὲ καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τιμῆσαι, εἴγε κατηγορίαν
ἐνστήσασθαι κατὰ Ἀθανασίου ἀνέξεται. ὁ δὲ καττύει ταῦτα, ὅτι
Μακάριος ὡς πρεσβύτερος Ἀθανασίου ἀποσταλείς, φησί, παρὰ Ἀθα-
νασίου, ἔφοδον ποιήσας [ἐν] τῇ ἐκκλησίᾳ ἡμῶν ἐν τῷ Μαρεώτῃ καὶ
εἰσπηδήσας εἰς τὸ θυσιαστήριον, ἀνέτρεψε μὲν τὴν τράπεζαν τὴν
ἁγίαν ποτήριόν τε κατέαξε μυστικὸν καὶ τὰ ἱερὰ βιβλία κατέ-
καυσε. ταῦτα καὶ τὰ τοιαῦτα τὸν βασιλέα διδάσκουσιν οἱ προρ- 20
ρηθέντες κατήγοροι διὰ τῶν περὶ Εὐσέβιον τὸν Νικομηδείας, εἰς
ὀργὴν κινοῦντες αὐτὸν κατὰ Ἀθανασίου, καὶ ὅτι τὸ θεῖον γράμμα
δεξάμενος οὐ προσήκατο καὶ Ἄρειον οὐκ ἐδέξατο ὁμολογήσαντα ἐπὶ
τῆς σῆς εὐσεβείας τὴν πίστιν, ὡς ἀκούσαντα τὸν βασιλέα τὰ κατὰ
Ἀθανασίου λεγόμενα ἐκπλαγῆναι αὐτόν, ὥστε παρευθὺς κελεῦσαι
αὐτὸν ἧκειν τάχιστα πρὸς αὐτὸν Ἀθανάσιον τὸν ἐπίσκοπον εἰς τὴν
Κωνσταντινούπολιν. ὁ δὲ ἀφικόμενος καὶ τὸν βασιλέα θεασάμενος, 21
διήλεγξε τῶν συκοφαντῶν τὸ ψεῦδος καὶ τὸν βασιλέα ἐπληροφό-
ρησε. καὶ γράμμασι βασιλικοῖς ὀχυρωθεὶς μετὰ τιμῆς ὅτι μάλιστα 22
πλείστης ὑπὸ τοῦ πιστοτάτου βασιλέως ἐπὶ τὴν Ἀλεξάνδρειαν πέμπεται.

25—32 Johannes? — **32**—S. **168, 3** vgl. Thdt. I 26, 5 p. 81

A²

2 *Ἰσίονα* Vita Ath. *διὰ Ἰσίωνος* od. *Ἐσσίωνος* Socr. **7** *πράγμασι* Socr. **11** *ἱερέως* Vita Ath. Socr. **15** *πρεσβύτερον* Vita Ath. vgl. u. Z. 21] *ἐπίσκοπον* A² **20** *ἀναδέξεται* Vita Ath. **21** *M. ὁ πρεσβ. ἀποσταλείς* Vita Ath. **22** *ἐν* > Vita Ath. **24** *τε* A²] *δὲ* Socr. *καὶ . . . δὲ* Vita Ath.

καὶ τὴν θεόθεν αὐτῷ ἐγχειρισθεῖσαν ἐκκλησίαν κατέλαβε. δηλοῖ δὲ ταῦτα καὶ τὰ τοῦ εὐσεβοῦς βασιλέως γράμματα. ἃ πρὸς τὴν Ἀλεξανδρέων ἐκκλησίαν ἐπέστειλεν, ὧν τὰ τελευταῖα ἐνθήσω τῇδε τῇ συγγραφῇ.

Ἀλλ' ἐμοὶ μηδεὶς τῶν ἐντυγχανόντων τῷδε τῷ συγγράμματι 23
διαμέμψηται ὡς τὴν ὅλην ἐπιστολὴν τῷ τῇδε τῆς ἐκκλησιαστικῆς ἱστορίας λόγῳ μὴ συνάψαντι. τοὺς γὰρ περὶ τούτων πάντας συγγραφεῖς διερευνησάμενος οὐχ εὗρον ὅλην ὑπ' αὐτῶν συγγραφεῖσαν. οὐ μὴν δὲ ἀλλὰ γὰρ καὶ ἄλλας πλείστας ὅσας ἐπιστολὰς ὡς ἐν ἐπιτόμῳ φανεράν τινα μοῖραν αὐτῶν ἐν ταῖς ὑπ' αὐτῶν σπουδασθείσαις ἱστορίαις ἐγράψαντο. ὅθεν πλεῖον πάντων ὑμῶν ὑπεραλγῶ περὶ τούτου. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, τὸ τέλος τῆς προ- 24
ρηθείσης ἐπιστολῆς τῇδε τῇ ἱστορίᾳ ἐγχαράττοντες, ὡς ὁ λόγος ἐπήγγελται. ἐγράφη δὲ οὕτως·

Τέλος ἐπιστολῆς τοῦ βασιλέως Κωνσταντίνου ὑπὲρ Ἀθανασίου συγγραφείσης τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ.

»Οὐδὲν ἴσχυσαν οἱ πονηροὶ κατὰ τοῦ ἐπισκόπου ὑμῶν, ἐμοὶ 16 1
»πιστεύσατε, ἀδελφοί· οὐδὲν ἕτερον ἐσπουδάκασιν ἢ ἵνα κατατρίψαντες »τοὺς ἡμετέρους χρόνους μηδεμίαν χώραν ἐν τῇ ζωῇ ταύτῃ μετα»λείας σχεῖν δυνηθῶσιν. ἐπικουρήσατε τοίνυν ὑμῖν αὐτοῖς, παρακαλῶ. »τὸ ἅγιον φίλτρον τὸ ὑμέτερον, ἀγαπήσατε ἑαυτοὺς παντὶ σθένει. »καὶ τὸν ὑμέτερον ἐπίσκοπον Ἀθανάσιον ἁπλήστῳ εὐφροσύνῃ ὑπο»δέξασθε, ἀγαπητοί, εἰ καὶ τὰ μάλιστα εὖ οἶδα, ὡς οὐ τοσαύτην 2
»ὑμῖν λύπην ἐνεποίησεν ὁ αὐτοῦ χωρισμός, ὅσην ἔχετε χαρᾶς ὑπερ»βολὴν ἐπὶ τῇ τούτου πρὸς ὑμᾶς ἐπαναζεύξει. διώξατε τοὺς τὴν 3
»τῆς ἡμετέρας ὁμονοίας χάριν ἀφανίζειν ἐπιθυμοῦντας, καὶ πρὸς τὸν »θεὸν ἀπιδόντες ὑμᾶς αὐτοὺς ἀγαπήσατε, παρακαλῶ. ἐγὼ γὰρ τὸν »ὑμέτερον ἐπίσκοπον Ἀθανάσιον ἀσμένως προσηκάμην, οὕτως τε προσ»εφθεγξάμην, ὡς ἄνθρωπον αὐτὸν εἶναι τοῦ θεοῦ πεπεισμένος. ὁ »θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί«.

Ταῦτα τὰ γράμματα λαβὼν παρὰ τοῦ βασιλέως ὁ μέγας Ἀθανά- 4
σιος καταλαμβάνει τὴν Ἀλεξάνδρειαν· ὃν ἅπας ὅ τε κλῆρος καὶ ὁ λαὸς ἀσμένως ἀποδεξάμενοι ἔχαιρον, ἰδόντες τὸν ἑαυτῶν νομέα ⟨πρὸς⟩ τὰ θρέμματα ἐπανελθόντα μετὰ τιμῆς ὅτι μάλιστα πλείστης. καὶ τὸν

4—11 vgl. zu der Zwischenbemerkung G. Loeschcke im Rhein. Mus. LX, 613 und Parmentier in der Vorrede zu Theodoret p. LXIVf — **16—29** vgl. Thdt. I 27 p. 82 — **30**—S. **169, 14** Johannes?

A²

14 *συγγραφεῖσα* A² **29** *διαφυλάξαι* A² **32** corr. Holl

θεὸν ἐδόξασαν ἅπαντες καὶ τὸν τὰ πάντα ἄριστον βασιλέα Κωνσταντῖνον εὐφήμοις φωναῖς ἐγέραιρον. ἀλλὰ ταῦτα τοῖς μὲν ἡμε- 5
τέροις εὐφροσύνην παρεῖχεν ἄφατον, τοῖς δὲ δυσμενέσι καὶ τοῖς τῷ
νίῳ τοῦ θεοῦ πολεμεῖν ἠσκημένοις ὀδύνην καὶ αἰσχύνην ἀπέραν-
5 τον. ἀλλ' ὅμως καὶ οὕτως τὴν αἰδῶ πᾶσαν τοῦ οἰκείου προσώπου 6
ἀποδυσάμενοι, μορφιζόμενοι τὴν εὐσέβειαν, τὴν δὲ δύναμιν αὐτῆς
ἠρνημένοι οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας μάλιστα καὶ δέον αὐτοὺς
εἰς γῆν καταδῦναι, πολλὴν ἄγαν τὴν ἀναισχυντίαν ἠμφιεσμένοι ἐφ'
ἕτερον πύργον εὐσεβείας τὴν παγχάλεπον καὶ κάκιστον αὐτῶν ἐπὶ τοῖς
10 πονηροῖς δράμασιν εὐτεχνίαν ἐτρέψαντο.

Ἦν δὲ τούτων ἁπάντων τῶν πονηρῶν βουλευμάτων γεννήτωρ 7
καὶ ἔξαρχος ἐξοχώτατος ὁ Νικομηδείας Εὐσέβιος, σοφὸς ἄγαν ὢν εἰς
τὸ κακοποιῆσαι ὡς ὁ πατὴρ αὐτοῦ ὁ διάβολος. αὐτὸς γὰρ τὰς ἡνίας
οὐ τῆς τοῦ θεοῦ ἐκκλησίας, ἀλλὰ τοῦ ἀσεβοῦς τοῦ Ἀρειανῶν ἐργαστη-
15 ρίου ἐκράτει. ἐγχρονίζων δὲ τῇ Κωνσταντινουπόλει καὶ συχνότερον
τὸν βασιλέα διὰ τοῦ κατὰ Ἄρειον πρεσβυτέρου θεώμενος καὶ πολλὴν
τὴν πρὸς αὐτὸν παρρησίαν αὐξήσας ἐφόδιον τῆς οἰκείας κακοτεχνίας
εὑράμενος τὴν τοῦ βασιλέως ἁπλότητα, ῥαδίως τὰς κατὰ τῶν τῆς
ἀληθείας προμάχων κατεσκεύαζε μηχανάς. τῆς οὖν κακίστης αὐτοῦ 8
20 σπουδῆς τῆς κατὰ τοῦ μεγάλου Ἀθανασίου ἐλπίδος ψευσθείς, ὁδὸν
εὐπρόσωπον τῆς κατὰ τοῦ θείου Εὐσταθίου τοῦ τῆς Ἀντιοχέων
ἐκκλησίας προέδρου ἐσοφίσατο ἔφοδον, καὶ πρόσεισι τῷ φιλαγάθῳ
βασιλεῖ Κωνσταντίνῳ ὡς δῆθεν εὐνούστατος καὶ τοῖς παρ' αὐτοῦ
πραττομένοις χαίρων τὴν ἐπὶ τὰ Ἱεροσόλυμα ὁδοιπορίαν ἐξαιτῶν καὶ
25 τῆς τῶν ἐκεῖσε παρ' αὐτοῦ δομηθέντων ἱερῶν τοῦ θεοῦ οἴκων θέας
ἱμειρόμενος, τούτοις τοῖς ἀπατηλοῖς λόγοις τὴν τοῦ βασιλέως δαυιτι-
κὴν βουκολήσας ψυχήν, μετὰ πλείστης ὅσης ἀπὸ τῆς Κωνσταντινου-
πόλεως ἀπῆρε τιμῆς, τοῦ βασιλέως αὐτῷ καὶ ὀχήματα ἀπονείμαντος
καὶ τὴν ἄλλην πᾶσαν θεραπείαν. συναπῆρε δὲ αὐτῷ καὶ Θεόγνιος 9
30 ὁ Νικαίας κοινωνὸς αὐτοῦ ὤν, ὡς καὶ ἔμπροσθεν ἔφαμεν, τῶν πο-
νηρῶν καὶ ἀσεβῶν αὐτοῦ βουλευμάτων.

Ἀφικόμενοι δὲ καταλαμβάνουσι τὴν Ἀντιόχειαν καὶ τὸ τῆς φιλίας 10
περιθέμενοι πρόσωπον, καθά φησιν ὁ Θεοδώρητος — εἰ καὶ τὰ πάμ-
πολλα τῶν γεγενημένων παρεὶς δι' ὀλίγων λίαν τὴν τῆς ἱστορίας
35 ποιησάμενος πρόνοιαν συνέγραψεν, ἀλλὰ τοῖς πρὸ αὐτοῦ συγγρα-

6 vgl. II Tim. 3, 5—**13** vgl. Joh. 8, 44 — **15**—**33** vgl. Thdt. I 21,1 f p. 70 — **30** vgl. S. 160, 8 u. ö. — **33**—S. **170**, **3** Zwischenbemerkung des Verfassers

A²

9 *ἀσεβείας* A² corr. Hei **14** Am Rand *οὕτως κατὰ Θεοδωρίτου* A² **33** *προσωπεῖον* Thdt.

φεῖσιν ἡμεῖς ἐντυχόντες ἀκριβῶς ἅπαντα τάξει τε καὶ εἱρμῷ ἱστορήσασι, τὴν ἀκολουθίαν συντάττω. τὰ γὰρ ἐκείνων πονήματα, ὥς μοι προείρηται, ἐξ ἑκατέρων ἀναλεξάμενοι ἐνταῦθα συντάττομεν.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν· καταλαβόντων τοίνυν **11** τῶν ἁλιτηρίων τὴν Ἀντιόχου πόλιν, μετὰ πλείστης ὅσης χαρᾶς ὑπὸ τοῦ ἐκεῖσε προέδρου τοῦ μεγάλου Εὐσταθίου πνευματικῶς ὑπεδέχθησαν· ἦν γὰρ ἀκηκοὼς περὶ τῆς ἐπιπλάστου αὐτῶν μετανοίας ὡς ἀληθοῦς, φησί, καὶ ἔχαιρεν ἐπ' αὐτοῖς, φιλοφρόνως δὲ αὐτοὺς ὑποδεξάμενος τῆς εἰς Χριστὸν εὐσεβείας ἕνεκα ὁ μέγας Εὐστάθιος, πλείστης ὅσης θεραπείας ἠξίωσε. μετὰ δὲ ταῦτα ἐκ τῆς Ἀντιοχείας **12** ἀπάραντες, τοὺς ἱεροὺς τόπους τῶν Ἱεροσολύμων κατέλαβον εὗρόν τε ἐκεῖ τινας τῶν ὁμοφρόνων, ἐφ' οἷς παρεκλήθησαν οὐ μετρίως διὰ τὸ καττυθὲν παρ' αὐτῶν δρᾶμα κατὰ τοῦ τῆς ἀληθείας προμάχου — οὐκ Εὐσέβιον τὸν Καισαρέα τῆς Παλαιστίνης, καθὰ Θεοδώρητος δοκεῖ **13** συκοφαντεῖν τὸν ἄνδρα ψευδῆ περὶ αὐτοῦ γραψάμενος· οὗτινος πάντες οἱ ἅγιοι ἡμῶν πατέρες ἐπὶ τῇ ὀρθοδόξῳ διαπρέψαντος πίστει μέμνηνται, καὶ τῶν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ ὑπὲρ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος πόνων καὶ ἀγώνων τοῦ ἀνδρὸς ᾄδουσι τοὺς ἄθλους, καθὰ καὶ τοῦ θείου Μακαρίου τοῦ ἐν Ἱεροσολύμοις ἐπισκόπου καὶ **14** Εὐσταθίου τοῦ μεγάλου καὶ Ἀλεξάνδρου τοῦ Ἀλεξανδρείας καὶ Λεοντίου Καισαρείας Καππαδοκίας καὶ Εὐψυχίου Τυάνων καὶ Πρωτογένους Σαρδικῆς καὶ πρό γε πάντων Ὁσίου τοῦ Κορδούβης Ἀθανασίου τε Ἀλεξανδρείας καὶ Ἀλεξάνδρου Κωνσταντινουπόλεως καὶ τῶν λοιπῶν ἁπάντων τῶν ἐν ἐκείνῃ τῇ ἱερᾷ καὶ ἁγίᾳ συνόδῳ ὑπὲρ τῶν ἀποστολικῶν ἀγωνισαμένων δογμάτων, οὕτως ἐπιμέμνηνται καὶ τοῦ θαυμασίου Εὐσεβίου τοῦ Παμφίλου Καισαρείας τῆς Παλαιστίνης ἐπισκόπου — ἀλλὰ τοῦτον μὲν οὐχ εὗρον οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας, **15** ἀλλὰ τοὺς ὁμόφρονας εὑρόντες. Πατρόφιλον τὸν Σκυθοπολίτην καὶ τὸν Λύδδης Ἀέτιον καὶ τὸν Λαοδικείας Θεόδοτον καὶ τοὺς ἄλλους ὅσους τῆς ἀσεβείας Ἀρείου εὗρον κοινωνούς, οἷς συμμίξαντες καὶ τὸ παρ' αὐτῶν τυρευθὲν κατὰ τοῦ ἁγίου Εὐσταθίου κατάδηλον αὐτοῖς ποιήσαντες σὺν αὐτοῖς τῶν Ἱεροσολύμων ἐξῆεσαν καὶ τὴν Ἀντιόχου ἅμα αὐτοῖς κατέλαβον.

3 vgl. S. 5, 31 — **4—11** Thdt. I 21, 3 erweitert — **12—27** Polemik gegen Theodoret I 21, 4 p. 70 — **27—S. 171, 34** vgl. Thdt. I 21, 4ff p. 70ff

A²

21 *Πρωτογένους* nach S. 85, 17] *ἑρμογένους* A², ein Name, der in der Liste von Nicaea nicht vorkommt **30** *ὅσον* von 1. Hd. *ὅσοι* von 2. Hd. A² corr. Cer.

Ἀλλὰ τὸ μὲν πρόσχημα τῆς τῶν ἄλλων ἐπιδημίας προπόμ- 16
πιος ἦν δῆθεν τιμή, τὸ δὲ παρ' αὐτῶν σπουδαζόμενον ὁ κατὰ
τῆς εὐσεβείας τῆς εἰς Χριστὸν πόλεμος ἦν. γύναιον γὰρ ἑταιρι-
κὸν χρυσίου μισθωσάμενοι καὶ τὴν γλῶτταν αὐτῆς μίαν ὥραν
δοῦναι αὐτοῖς πείσαντες, συνέδριόν τε σὺν τῷ μεγάλῳ Εὐστα-
θίῳ ἅμα τοῖς σὺν αὐτῷ ἁγίοις ἐπισκόποις συστήσαντες, εἶτα τοὺς
ἄλλους ἅπαντας ἔξω γενέσθαι κελεύσαντες, οἱ κατὰ τοῦ ἀρχιερέως
δρᾶμα συντεθεικότες ἄγεσθαι ὡς τάχιστα τὸ τρισάθλιον γύναιον εἰς
τὸ συνέδριον παρακελεύονται. οἱ δὲ τῆς παρανομίας αὐτῶν ὑπουρ- 17
γοὶ ἄγουσιν αὐτῶν μέσον τὸ γύναιον. ἡ δὲ ἔστη παιδίον ὑπομάζιον
ἐπιδεικνύουσα καὶ λέγουσα ἐκ τῆς Εὐσταθίου συνουσίας τοῦτο συν-
ειληφέναι καὶ τετοκέναι καὶ ἀνέδην ταῦτα ἐπέμενε βοῶσα. τὸ δὲ
τῆς συκοφαντίας προφανὲς ἐγνωκὼς ὁ μέγας Εὐστάθιος, εἴ τινα ἔχοι
τούτου συνίστορα, ἄγειν εἰς τὸ μέσον ἐκέλευεν. ἐκείνης δὲ μηδένα 18
ἔχειν λεγούσης, ὅρκον αὐτῇ προέτειναν τῇ ἑταιρίδι οἱ τὴν συκοφαν-
τίαν ὑφήναντες, καίτοι τοῦ ἀποστολικοῦ θείου κανόνος διαγορεύοντος
μὴ δεῖν κατὰ πρεσβυτέρου κατηγορίαν παραδέχεσθαι παρεκτικτὸν δύο
ἢ τριῶν μαρτύρων. ἀλλὰ τῶν θείων οὕτως νόμων καταφρονή- 19
σαντες καὶ τὴν κατὰ τῶν συκοφαντῶν κεκριμένην ἀπόφασιν τοῦ
θεοῦ εἰς οὐδὲν λογισάμενοι, ἀμάρτυρον κατὰ ἀνδρὸς τοσούτου κατη-
γορίαν διὰ τοῦ ἑταιρικοῦ γυναίου ἐξύφηναν καὶ ἐδέξαντο, ὡς δικασταὶ
κατάδικοι. ἐπειδὴ δὲ καὶ ὅρκον, ὃν αὐτοὶ ἐπέθεντο, τὸ τρισάθλιον
προστέθεικε γύναιον, βοῶσα Εὐσταθίου εἶναι τὸ βρέφος, ὡς κατὰ
μοιχοῦ λοιπὸν οἱ πάσης αἰσχρότητος ἔμπλεοι τὴν ψῆφον ἐξήνεγ-
καν. τῶν δὲ ἄλλων ἀρχιερέων (πολλοὶ γὰρ ἦσαν τῶν ἀποστολι- 20
κῶν σὺν Εὐσταθίῳ τῷ μεγάλῳ ὑπερμαχοῦντες δογμάτων ⟨καὶ⟩
ἀγνοοῦντες ἅπαντα τὰ τυρευθέντα) προφανῶς ἀντέλεγον τοῖς παρα-
νόμοις καὶ τὴν ἄδικον ψῆφον ἐκείνην δέξασθαι τὸν ἐπίσκοπον Εὐ-
στάθιον διεκώλυον, οἱ δὲ τὸ δρᾶμα συντεθεικότες τάχιστα πρὸς τὸν
βασιλέα ἀνέδραμον ⟨καὶ⟩ πείσαντες αὐτόν, ὡς ἀληθῆ τὰ λεχθέντα
διερευνηθέντα εὑρηνται καὶ δικαία ἡ τῆς καθαιρέσεως ψῆφος, ὡς
μοιχὸν ὁμοῦ καὶ τύραννον ἐξελαθῆναι τῶν ἱερῶν περιβόλων καὶ εἰς
Ἰλλυρικὴν πόλιν διὰ τῆς Θρᾴκης πορρωτέρω ἐξορίᾳ ἀπαχθῆναι παρα-
σκευάζουσι τὸν τῆς εὐσεβείας καὶ σωφροσύνης ἀγωνιστήν.
Ἀλλ' ὁ μὲν τῶν ἀποστολικῶν δογμάτων πολέμιος καὶ τὰς κατὰ 21

17 vgl. I Tim. 5, 19 — **35**—S. **172, 4** Johannes?

A²

23 *βρέφος* Thdt. *γύναιον* A² **26** corr. nach Thdt. **27** *ἀντέλεγον*: *anakoluthisch. Die bei Thdt. durchgeführte Participialkonstruktion ist aufgegeben* **30** corr. nach Thdt.

τῶν τῆς ἀληθοῦς πίστεως κηρύκων συκοφαντίας δραματουργεῖν ἐπιστάμενος, ὁ τῆς Νικομηδείας Εὐσέβιος ἅμα Θεογνίῳ τῇ Κωνσταντινουπόλει ἐπεχωρίαζον, εἶχον δὲ ἁπάντες ἐν Ἀντιοχείᾳ τοὺς τῆς οἰκείας μοχθηρίας κοινωνούς, οἳ ἀντὶ τοῦ θείου Εὐσταθίου χειροτονοῦσιν Εὐλάλιον. τούτου δὲ ὀλίγον λίαν ἐπιβιώσαντος χρόνον 22
Εὐφρόνιον τινὰ προεβάλοντο. καὶ τούτου δὲ τάχιστα τελευτήσαντος (ἐνιαυτὸν γὰρ ἕνα καὶ μῆνας ὀλίγους μετὰ τὴν χειροτονίαν ἐβίωσεν) Φλακίτῳ τῆς ἐκκλησίας ἐκείνης τὴν προεδρίαν δοθῆναι παρασκευάζουσι. πάντες δὲ οὗτοι ὁμοίως τὴν Ἀρείου ἀσέβειαν εἶχον ἐγκε- 23
κρυμμένην· ὅθεν ἅπαντες οἱ τῆς ὀρθῆς καὶ εὐσεβοῦς πίστεως ἀντιποιούμενοι, οἵ τε τῶν ἱερωμένων καὶ τῶν τοῦ λαοῦ, τοὺς ἐκκλησιαστικοὺς καταλιπόντες συλλόγους καθ' ἑαυτοὺς συνηθροίζοντο. Εὐσταθιανοὺς δὲ τούτους ὠνόμαζον πάντες, ἐπειδὴ μετὰ τὴν ἐκείνου συνέστησαν ἔξοδον. τὸ μέντοι τρισάθλιον ἐκεῖνο γύναιον νόσῳ 24
χαλεπωτάτῃ καὶ μακροτάτῃ μετ' οὐ πολὺ περιπεσὸν ἐξέφηνε τὴν ἐπιβουλὴν καὶ τὴν συκοφαντίαν ἐγύμνωσεν, οὐ δύο ἢ τρεῖς ἀλλὰ πολλοὺς τῶν ἱερέων προσκαλεσαμένη καὶ τὰ τυρευθέντα παρὰ τῆς θαυμαστῆς τῶν ἀσεβῶν συμμορίας διδάξασα. ἔφη γὰρ ἐπὶ χρήμασι τὴν συκοφαντίαν ἐκείνην τετολμηκέναι, τὸν μέντοι ὅρκον μὴ πολὺ
εἶναι ψευδῆ ἔλεγεν· Εὐσταθίου γάρ τινος χαλκέως τὸ βρέφος εἶναι ἐβόα.

Ταῦτα μὲν οὖν ἐν Ἀντιοχείᾳ παρὰ τοῦ ἀσεβοῦς Εὐσεβίου καὶ 25
τῶν ἀμφ' αὐτὸν τετόλμηται τότε. ἀλλ' οὐδὲ οὕτως οἱ ἀσεβεῖς ἐνετράπησαν τότε οὐδὲ κόρον ἐλάμβανον τῶν κατὰ τῆς ἀληθείας προμάχων συκοφαντιῶν. ἀλλ' ἑωρακότες ὡς κατὰ γνώμην αὐτοῖς τὰ
κατὰ τοῦ μεγάλου Εὐσταθίου ὑπήντησεν, ἕτερον πάλιν δρᾶμα κατὰ τοῦ θείου Ἀθανασίου συρράπτουσιν, ᾧ προσόμοιον οὐδεὶς τῶν κακίστων ἀνδρῶν πώποτε κατετόλμησε. κατηγόρους γὰρ πάλιν τινὰς 26
ἐκ τῆς αὐτῆς Μελιτίου συμμορίας μισθωσάμενοι προσάγουσι τῷ βασιλεῖ κατὰ Ἀθανασίου βοῶντας ἀνοσιουργίας αἰσχρὰς τετολμηκέναι
πολλὰς τὸν τῆς ἀρετῆς ἀθλητήν. ἡγεῖτο δὲ τούτων Εὐσέβιός τε καὶ Θεόγνιος καὶ Θεόδωρος ὁ Ἡρακλεώτης τῆς Θράκης, οὐκ ἀνεκτὰ ταῦτ' εἶναι λέγοντες οὐδὲ ἀκοαῖς φορητά. πείθουσι δὴ οὖν τὸν βασιλέα 27
σύνοδον ἐν Ἀντιοχείᾳ τῆς Συρίας συναθροισθῆναι κελεῦσαι, ἔνθα

4—21 vgl. Thdt. I 22, 1ff p. 72 — **16** vgl. S. 171, 16f — **22—S. 173, 15** vgl. Thdt. I 28 p. 82f — **23** vgl. Thdt. I 25, 15 p. 80 Z. 15

A²

10 *καὶ εὐσεβοῦς* am Rand von 1. Hd. A² **19** *πολὺ*] *πάμπαν* Thdt. **28** *Μελετίου* A² **33** *Nach Theodoret a. a. O. und Sozomenos II 25, 1 sollte die Synode ἐν Καισαρείᾳ τῆς Παλαιστίνης stattfinden*

πλείους ἦσαν οἱ δυσμενεῖς, κἀκεῖσε τὸν Ἀθανάσιον κριθῆναι. πεισθεὶς δὲ ὡς ἱερεῦσιν ὁ βασιλεὺς (ἠγνόει γὰρ παντελῶς τὰ παρ' αὐτῶν τυρευόμενα) γενέσθαι τοῦτο προσέταξεν. ἀλλ' ὁ τῆς ἀληθείας 28
ὑπέρμαχος, ὁ μέγας Ἀθανάσιος, τὴν τῶν προρρηθέντων ἀσεβῶν δυσμένειαν ἐπιστάμενος, οὐχ ἧκεν εἰς τὸ συνέδριον. ἐντεῦθεν τοίνυν μείζονα πρόφασιν εἰς συκοφαντίαν λαβόντες, ἅπαξ τὸν κατὰ τῆς ἀληθείας ἀναδεξάμενοι πόλεμον, τυραννίδος αὐτὸν καὶ θρασύτητος ἐπὶ τοῦ βασιλέως διὰ γραμμάτων ψηφίζονται. ἐκ δὲ τούτου εἰς 29
ὀργὴν κατὰ Ἀθανασίου ἐξαφθεὶς ὁ πραότατος βασιλεὺς ἐπέστειλεν αὐτῷ τὴν ὀργὴν ὑποφαίνων καὶ τὴν Τύρον καταλαβεῖν παρεγγυῶν· ἐκεῖσε γὰρ μετατεθεῖσαν ἀθροισθῆναι τὴν σύνοδον προσέταξεν, ὑποπτεύσας ὑφορᾶσθαι τὴν Ἀντιοχέων τὸν Ἀθανάσιον διὰ τὸ πολλοὺς εἶναι κατὰ τὴν ἀνατολὴν τοὺς τὴν Ἀρείου λώβην εἰσδεδεγμένους. ἔγραφε δὲ καὶ τῇ συνόδῳ ἅπερ ἐχρῆν ἐπιστεῖλαι τὸν εὐσεβείᾳ κοσμούμενον. ἔστι δὲ ταῦτα·

Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τὴν ἐν Τύρῳ συναθροισθεῖσαν σύνοδον.

»*Κωνσταντῖνος Νικητὴς Μέγιστος Σεβαστὸς τῇ ἁγίᾳ συνόδῳ τῇ* 17 1
»*ἐν Τύρῳ συναθροισθείσῃ.*

»*Ἦν μὲν ἴσως ἀκόλουθον καὶ τῇ τῶν καιρῶν εὐπραγίᾳ μάλιστα* 2
»*πρέπον ἁστασίαστον εἶναι τὴν καθολικὴν ἐκκλησίαν καὶ πάσης λοι-*
»*δορίας τοὺς τοῦ Χριστοῦ νῦν ἀπηλλάχθαι θεράποντας. ἐπειδὴ δὲ*
»*τοίνυν οὐχ ὑγιῶς φιλονεικίας οἴστρῳ τινὲς ἐλαυνόμενοι (οὐ γὰρ ἂν*
»*ἄλλο τι εἴποιμι) βιοῦντες ἑαυτῶν ἀναξίως τὰ πάντα συγχέειν ἐπι-*
»*χειροῦσιν, ὅπερ πάσης συμφορᾶς κεχωρηκέναι μοι δοκεῖ ἐπέκεινα,*
»*τούτου χάριν θέοντας ὑμᾶς, τὸ τοῦ λόγου, προτρέπομαι χωρίς τινος*
»*ὑπερθέσεως ἐπὶ τὸ αὐτὸ συνδραμεῖν καὶ πληρῶσαι τὴν σύνοδον*
»*πνευματικῆς πανηγύρεως ἐπαμῦναί τε τοῖς χρῄζουσιν ἐπικουρίας,*
»*τοὺς δὲ ἀδελφοὺς ἰατρεῦσαι κινδυνεύοντας εἰς ὁμόνοιαν ἐπαναγαγεῖν*
»*τὰ τῶν μελῶν διεστῶτα διορθώσασθαί τε τὰ πλημμελούμενα, ὡς*
»*καιρὸς ἐπιτρέπει, ἵνα ταῖς τοσαύταις ἐπαρχίαις τὴν πρέπουσαν ἀπο-*
»*δῶτε συμφωνίαν, ἣν, φεῦ τῆς ἀτοπίας, ἐλαχίστων ἀνθρώπων ἀπώ-*
»*λεσαν ὑπεροψίαι. ὅτι δὲ τοῦτο καὶ τῷ δεσπότῃ θεῷ ἐστὶν ἀρεστὸν* 3
»*καὶ ἡμῖν πᾶσιν εὐχῆς ὑπέρτερον καὶ ὑμῖν γε αὐτοῖς, ἐάν γε τὴν εἰρή-*

20—S. **174, 23** vgl. Thdt. I 29 p. 83ff

A²

1 *κἀκεῖσε* Thdt.] *κἀκεῖ* A² **8** *ψηφίζεται* A² **12** *Καισαρέων* Thdt. **23** *τοίνυν* von 1. Hd. durchstrichen A² > Thdt. | *ὑγιῶς* corr. von späterer Hd. in *ὑγιοῦς* A² (Thdt.)

»νην ἀνακαλέσησθε, οὐ τῆς τυχούσης ἄξιον εὐδοξίας, πάντας ἀνθρώ-
»πους συνομολογεῖν ἡγοῦμαι. μὴ τοίνυν μέλλετε λοιπόν, ἀλλ' 4
»ἐπιτείναντες ἐντεῦθεν ἤδη τὰ τῆς προθυμίας, ὅρον τοῖς προκειμένοις
»ἐπιθεῖναι σπουδάσατε τὸν προσήκοντα, μετὰ πάσης εἰλικρινείας δη-
»λαδὴ καὶ πίστεως συνελθόντες, εἰρήνην ⟨τ'⟩ ἐκείνην ἐν ἅπασι πρυτανευ-
»θῆναι ὑμῖν τε καὶ πᾶσι προνοήσατε. ἀπέστειλα πρὸς οὓς ἠβουλή- 5
»θητε τῶν ἐπισκόπων, ἵνα παραγενόμενοι κοινωνήσωσιν ὑμῖν τῶν
»φροντισμάτων. ἀπέστειλα Διονύσιον τὸν ἀπὸ ὑπατικῶν, ὃς καὶ τοὺς
»ὀφείλοντας ἀφικέσθαι εἰς τὴν σύνοδον μεθ' ὑμῶν ὑπομνήσει, καὶ
»τῶν πραττομένων ἐξαιρέτως δὲ καὶ τῆς εὐταξίας κατάσκοπος παρ-
»έσται. ἐὰν γάρ τις, ὡς ἔγωγε οὐκ οἶμαι, τὴν ἡμετέραν κέλευσιν 6
»καὶ νῦν διακρούσασθαι πειρώμενος μὴ βουληθῇ παραγενέσθαι ἐν τῇ
»συνόδῳ, ἐντεῦθεν παρ' ἡμῶν ἀποσταλήσεται, ὃς ἐκ βασιλικοῦ προσ-
»τάγματος ἐκβαλὼν ⟨αὐτὸν διδάξ⟩ει ὡς οὐ προσῆκεν ὅροις αὐτοκράτορος
»ὑπὲρ τῆς ἀληθείας ἐξενεχθεῖσιν ἀντιτείνειν ποτέ. λοιπὸν ἔσται τῆς 7
»ὑμετέρας ὁσιότητος ἔργον, ὁμογνώμονι κρίσει, μήτε πρὸς ἀπέχθειαν
»μήτε πρὸς χάριν, ἀκολούθως δὲ μᾶλλον τῷ τε ἐκκλησιαστικῷ καὶ
»ἀποστολικῷ κανόνι, τοῖς πλημμεληθεῖσιν ἤγουν κατὰ σφάλμα συμβε-
»βηκόσι τὴν ἁρμόττουσαν θεραπείαν ἐπινοῆσαι, ἵνα καὶ πάσης
»βλασφημίας ἐλευθερώσητε τὴν ἐκκλησίαν καὶ τὰς ἐμὰς ἐπικουφίσητε
»φροντίδας καὶ τὴν τῆς εἰρήνης χάριν [ἐν] τοῖς νῦν στασιαζομένοις
»ἀποδόντες, μείζονα εὐκληρίαν ὑμῖν αὐτοῖς προξενήσητε. ὁ θεὸς
»ὑμᾶς διαφυλάττοι, ἀδελφοὶ ἀγαπητοί«.

Τὴν μὲν οὖν σύνοδον ἐν Τύρῳ γενέσθαι προστάξας ταῦτα γε- 8
γράφηκεν. ὡς γὰρ ἱερεῦσι τοῖς συκοφάνταις ἐπείθετο, εἰ καὶ τὸν
τῆς εὐσεβείας τόνον εἶχεν ἀχαύνωτον, ἀλλὰ διὰ τὸ νομίζειν αὐτὸν
ἠδικῆσθαι τοὺς ἐναντίους, ὡς κριτὴς δίκαιος ἠνέσχετο καὶ ταύτης
τῆς κελεύσεως, προστάξας μέντοι μετὰ τὴν τῆς συνόδου ἐκπλήρωσιν
διευκρινησάσης ἕκαστα καταλαβεῖν πᾶσαν τὴν σύνοδον τὰ Ἱεροσόλυμα
τῶν ἐγκαινίων τῆς ἐκεῖσε ὑπ' αὐτοῦ δομηθείσης ἐκκλησίας ἕνεκα.

Γράφει δὲ καὶ ἑτέραν ἐπιστολὴν τῇ συνόδῳ, παρεγγυῶν ὥστε μὴ 9
μόνον τὸν Ἀθανάσιον ἀπαντῆσαι τῇ συνόδῳ, ἀλλὰ γὰρ καὶ Ἄρειον
καὶ γυμνασθῆναι εἰλικρινῶς τὰ παρ' ἑκάστου γενόμενα, ἵνα εἰ, καθὼς
λέγει Ἄρειος, φθόνῳ τὴν διαίρεσιν ὑπέστη τῆς ὀρθῆς ἐντὸς ὢν
πίστεως, πρότερον ἑαυτοῦ καταγνοὺς ἐπὶ τοῖς παρ' αὐτοῦ τετολμη-
μένοις κατὰ τῆς ἀληθείας σιωπήσῃ — εἰ μὴ ἄρα ἄμυναν κατὰ τοῦ 10

16 vgl. S. 180, 5 — 24 — S. 175, 19 Johannes? vgl. Vita Athan. 3 p. CXXXIX^c Montf. A²

14 erg. nach Thdt. unleserlich A² 18 ἤγουν] εἴτ' οὖν Thdt. 19 ἐπινοῆσαι Thdt.] ἐπινοήσατε A² 21 ἐν > Thdt. 22 εὔκλειαν Thdt. 33 γινόμενα A²

ἰδίου ἐπισκόπου Ἀθανασίου σοφιζόμενος ἐπανείλετο τὴν διόρθωσιν, πλέκων κατ' αὐτοῦ ὑπονοίας παρεκβράσματα — καὶ εἰ μὲν φθόνος αἴτιος εὑρεθῇ, σπουδὴ αὐτοῖς τοῖς ἐν τῇ συνόδῳ ἐπισκόποις γένηται τοῦ εἰς εἰρήνην ἀμφοτέρους συνάψαι, εἰ δὲ πλαστῇ τινι μεταμελείᾳ κέχρηται Ἄρειος, καταλάβοι πάλιν τὴν Ἀλεξάνδρειαν κἀκεῖ περὶ τούτου κρίνοιτο.

Ταῦτ' ἔγραφε βασιλεὺς ὁ πανεύφημος τῆς τῶν ἁπάντων ὁμο- 11
νοίας προμηθούμενος, ὅπως ἂν ἐκεῖσε πάσης ἐρεσχελίας ἐκποδὼν γενομένης, εἰρηνικώτερον τὰ ἐγκαίνια τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐκτελέσωσι, καθιεροῦντες αὐτὴν τῷ θεῷ. ἀλλ' ὁ μὲν ἀνόσιος Ἄρειος 12
ἀπαντῆσαι ἐν τῇ συνόδῳ ἐν τῇ Τύρῳ οὐκ ἠνείχετο, Ἀθανάσιος δὲ ὁ μέγας ταύτην σὺν Τιμοθέῳ καὶ Μακαρίῳ τοῖς αὐτοῦ πρεσβυτέροις καὶ πλείστοις ἄλλοις συνεπομένοις αὐτῷ κληρικοῖς καὶ αἰδεσίμοις ἀνδράσι τὴν Τυρίων κατέλαβε σὺν προθυμίᾳ πολλῇ. οὕτω δῆτα 13
συνελθόντων ἐπισκόπων εἰς τὴν Τύρον καὶ ἅμα πάντων σὺν τῷ ὑπατικῷ Διονυσίῳ καὶ τοῖς σὺν αὐτῷ ἐξοχωτάτοις ἀνδράσιν ἀξιώμασι τετιμημένοις καὶ τῷ τῆς ἐπαρχίας ἄρχοντι ἐπὶ τὸ αὐτὸ γενομένων ἀπεδόθησαν ὑπὸ τοῦ ἀπὸ ὑπατικῶν Διονυσίου τῇ τῶν ἐπισκόπων συνόδῳ τὰ τοῦ βασιλέως γράμματα. ἀφίκοντο δὲ καὶ ἄλλοι 14
τινὲς ἐπίσκοποι δογμάτων διαφθορὰν ἐγκαλούμενοι, ὧν εἷς ἦν Ἀσκληπᾶς ὁ Γαζεύς. βούλομαι δὲ πρῶτον τὰς τῆς κατὰ τοῦ ἁγίου Ἀθανασίου κατηγορίας τραγῳδίας ἐνθεῖναι τῇδε τῇ συγγραφῇ, εἶθ' οὕτως τὰ κατὰ τὸ πολυθρύλλητον δικαστήριον διηγήσασθαι. Ἀρσένιός 15
τις πρῶτον μὲν γενόμενος Ἀθανασίου ἀναγνώστης ἐπὶ ἐγκλήμασί τισι ἐναγόμενος καὶ μέλλων ὑπὸ τοῦ πλήθους διαφθ⟨είρε⟩σθαι, ἐπειδὴ ἔγνω τοῦτο ὁ μέγας Ἀθανάσιος (διερευνησάμενος γὰρ ἦν τὴν ὑπόθεσιν), τοῦτον τὸν τρόπον διεσώθη· μαθὼν γὰρ συκοφαντεῖσθαι τὸν Ἀρσένιον, ἐπιστὰς νυκτὸς διασώζει τὸν ἄνδρα, φυγῇ τὸν φόνον ἀποδρᾶναι τοῦτον παρασκευάσας. ὄντινα μετὰ ταῦτα οἱ Μελιτίου 16
κοινωνοὶ εὑρόντες κατὰ τὴν Αἴγυπτον, τὸ τῆς ἐπισκοπῆς αὐτῷ παρασκευάζουσι δοθῆναι ὄνομα. μετὰ δὲ χρόνον τινὰ καθ' ὑπόθεσιν Εὐσεβίου τοῦ Νικομηδείας (αὐτὸς γὰρ ἦν ὁ πανταχοῦ κατὰ τῶν εὐσεβῶν πολυπλόκους συκοφαντίας ἐπιτεχνώμενος) αὐτὸν τοῦτον τὸν Ἀρσένιον κατακρύψαντες οἱ τῆς Μελιτίου συμμορίας λαθεῖν αὐτὸν

19—23 vgl. Thdt. I 29, 7 p. 85 — **23—34** Johannes? vgl. Rufin X 18 p. 983 — **34**—S. **179, 10** vgl. Thdt. I 30—31, 3 p. 85ff (erweitert)

A²

16 ὑπατικῷ aus ὑπατικῶν corr. A² **17** f γενομένῳ A² **25** verdorbene Stelle in A² **34** corr. aus *Μελετίου* A²

ἐπὶ πλεῖον ἠξίωσαν. ἔπειτα χεῖρα δεξιὰν ἀπό τινος σώματος ἐκτε- 17
μόντες νεκροῦ καὶ ταύτην ἐν λάρνακι ξυλίνῃ τεταριχευμένην ἀπο-
θέμενοι, πανταχοῦ περιέφερον, πεφονεῦσθαι καὶ κατατετμῆσθαι λέ-
γοντες ὑπὸ Ἀθανασίου τὸν Ἀρσένιον, μιαφόνον τε ἀπεκάλουν τὸν
Ἀθανάσιον. ἀλλ' ὁ πάντα ἐφορῶν ὀφθαλμὸς τοῦ θεοῦ οὐκ εἴασεν 18
ἐπὶ πλεῖστον λανθάνειν τὸν Ἀρσένιον, ἀλλὰ πρῶτον μὲν ἐν Αἰγύπτῳ
καὶ Θηβαΐδι δῆλος γέγονεν ὅτι ζῇ, ἔπειτα ἐνέβαλεν αὐτῷ ὁ θεός, ὡς
αὐτὸς ἐς ὕστερον διηγήσατο, τὴν παρὰ τοῦ Ἀθανασίου παρὰ πᾶσαν
ἐλπίδα πρυτανευθεῖσαν αὐτῷ σωτηρίαν διαλογίσασθαι ἔτι τε καὶ
ἀδικεῖν αὐτὸν καὶ παρανομίαν μεγίστην ἐργάζεσθαι, εἰ τὸν εὐεργέτην
παρίδοι θανάτῳ ἕνεκεν αὐτοῦ ὑποβληθῆναι καὶ μὴ μᾶλλον αὐτὸν
ὑπὲρ ἐκείνου τεθνάναι. ἄγει οὖν αὐτὸν ὁ τῶν ὅλων πρύτανις ἐν τῇ
Τύρῳ, ἔνθα ἡ τραγῳδουμένη χεὶρ ὑπὸ τῶν συκοφαντῶν ἐπὶ τῶν
κριτῶν προεφέρετο. τοῦτον οἱ Ἀθανασίου θεασάμενοι σύνοικοι 19
ἦγαγον ἐν τῇ αὐτῶν καταγωγῇ, καὶ μαθόντες παρ' αὐτοῦ τά τε τῆς
τοῦ θεοῦ οἰκονομίας καὶ τὰ τῆς αὐτοῦ προθυμίας, λανθάνειν αὐτὸν
ἐν τῷ τέως παρεκάλεσαν.

Ὁ δὲ μέγας Ἀθανάσιος ὑπὸ τὴν ἕωθεν κατέλαβε τὸ συνέδριον 20
ἅμα Τιμοθέῳ καὶ Μακαρίῳ τοῖς ἑαυτοῦ πρεσβυτέροις καὶ τοῖς σὺν
αὐτῷ ἀπὸ τῆς Ἀλεξανδρείας ἐκεῖσε παραγενομένοις. καὶ πρῶτον μὲν 21
γύναιον εἰσήγαγον ἀκολασίᾳ συνεζηκός. ἡ δὲ ἀνέδην ἐβόα παρθενίαν
μὲν ἐπαγγέλλεσθαι λέγουσα, τὸν δὲ Ἀθανάσιον ἐπιξενωθέντα εἰς τὴν
αὐτῆς καταγωγὴν βιάσασθαι αὐτὴν καὶ ἄκουσαν διαφθεῖραι. τούτων
ὑπ' ἐκείνης λεγομένων εἰσῆλθεν ὁ κατηγορούμενος, συνῆν δὲ αὐτῷ
ἅμα τοῖς ἄλλοις Τιμόθεος ὁ πρεσβύτερος, ἀνὴρ ἀξιάγαστος. τῶν 22
δὲ δικαστῶν ἀπολογήσασθαι πρὸς τὴν κατηγορίαν τὸν Ἀθανάσιον
προσταττόντων ὁ μὲν Ἀθανάσιος ἐσίγησεν, ὡς οὐκ ὢν αὐτὸς ὁ κατη-
γορούμενος, ὁ δὲ Τιμόθεος ἔφη πρὸς τὴν γυναῖκα· »ἐγώ σοι, ὦ γύ-
ναι, συνέτυχον πώποτε; εἰς δὲ τὴν σὴν οἰκίαν εἰσελήλυθά ποτε«; ἡ
δὲ ἀναιδέστερον ἐβόα, διαμαχομένη τῷ Τιμοθέῳ καὶ πρὸς αὐτὸν τὴν
χεῖρα ἐξάγουσα καὶ κατεπέχουσα καὶ λέγουσα αὐτῷ τῷ Τιμοθέῳ· »σύ
μου τὴν παρθενίαν ἀφείλου· σύ με τῆς σωφροσύνης ἐγύμνωσας· σύ
μου τὸ σεμνὸν τῆς ψυχῆς ἠχρείωσας« καὶ τὰ ἄλλα ὅσα λέγειν εἰώ-
θασιν αἱ δι' ἀκολασίας ὑπερβολὴν οὐκ ἔχουσαι τὴν αἰδῶ. καὶ ἦν 23
ὄντως ἔκπληξις ⟨τὰ δ⟩ρώμενα καὶ παντὸς θαύματος μεῖζον, ὅτι Ἀθα-
νάσιος μὲν κατηγορεῖτο, Τιμόθεος δὲ ἐνεκαλεῖτο. οὕτω δὴ τῶν τὸ

A²

18 ἕωθεν nachträglich corr. in ἕω A² 21 *παρθενίαν* Thdt.] *παρθενίας* A² 35 nach τ Raum für 2 Buchstaben; von späterer Hd. τ . . ρώμενα A² erg. Ltz.

δρᾶμα συντεθεικότων καταισχυνθέντων, ἐρυθριασάντων δὲ καὶ τῶν δικαστῶν ὅσοι συνίστορες ἦσαν, ἐκβληθῆναι τὸ γύναιον προσέταξαν.

Τότε δὴ ὁ θεῖος Ἀθανάσιος ἔλεγε μὴ χρῆναι ἀφεθῆναι τὸ γύναιον, 24
ἀλλ' ἐξετάσαι καὶ μαθεῖν. οἱ δὲ συκοφάνται ἐβόων ἕτερα εἶναι
κατηγορήματα χαλεπώτερα, οὐδαμῶς τέχνῃ τινὶ καὶ δεινότητι δια-
λυθῆναι δυνάμενα· ὅψις γὰρ καὶ οὐκ ἀκοὴ δικάσει τοῖς δεικνυμένοις.
ταῦτα εἰπόντες τὴν πολυθρύλλητον ἐκείνην ὑπέδειξαν λάρνακα καὶ
τὴν τεταριχευμένην ἐγύμνωσαν χεῖρα. τῶν δὲ ἐν τῷ συνεδρίῳ 25
θεασάμενος ἕκαστος ἐβόησεν, οἱ μὲν τῶν συκοφαντῶν συνίστορες
ἀληθὲς εἶναι τὸ μῦθος λέγοντες, οἱ δὲ τὸ μὲν ψεῦδος εἰδότες, κε-
κρύφθαι δὲ τὸν Ἀρσένιον ἔτι ζῶντα λέγοντες κατεγέλων. μεγίστης 26
δὲ ταραχῆς πεπληρωμένου τοῦ συνεδρίου καὶ μόλις βραχείας ἡσυχίας
γεγενημένης, ἤρετο τοὺς δικαστὰς ὁ κατηγορούμενος Ἀθανάσιος, εἴ
τις ἐν αὐτοῖς εἴη ἐπιστάμενος τὸν Ἀρσένιον. πολλῶν δὲ εἰρηκότων
ἀκριβῶς εἰδέναι τὸν ἄνδρα ἐκέλευσεν ὁ Ἀθανάσιος τοῦτον ἀχθῆ-
ναι. τοῦ δὲ εἰσελθόντος καὶ στάντος ἐν τῷ μέσῳ τοῦ συνεδρίου 27
ἤρετο πάλιν ὁ Ἀθανάσιος, εἰ οὗτός ἐστιν Ἀρσένιος ὁ παρ' ἐμοῦ μὲν
ἀνηρημένος, παρὰ δὲ τούτων μετὰ σφαγὴν ὑβρισμένος καὶ τῆς δεξιᾶς
χειρὸς ἐστερημένος. συνομολογησάντων δὲ πλείστων ὅσων τῶν ἐν
τῇ συνόδῳ αὐτὸν εἶναι τὸν Ἀρσένιον, τῆς ἐφεστρίδος αὐτὸν γυμνώ-
σας ὁ θεῖος Ἀθανάσιος, ὑπέδειξεν ἄμφω τὰς χεῖρας τοῦ Ἀρσενίου,
δεξιάν τε καὶ εὐώνυμον· »ἄλλην δέ«, ἔφη, »ζητείτω μηδείς· δύο γὰρ
ἀνθρώπων ἕκαστος παρὰ τοῦ ποιητοῦ τῶν ὅλων ἐδεξάμεθα χεῖρας«.

Ἀλλὰ καὶ τούτων οὕτως δειχθέντων κρίσει τοῦ τὰ πάντα ἐφο- 28
ρῶντος θεοῦ, δέον καταδύεσθαι τοὺς κατηγόρους καὶ τῶν δικαστῶν
τοὺς συνειδότας καὶ εὔχεσθαι χῆναι καὶ αὐτὴν τὴν γῆν ἐπ' αὐτοὺς
καὶ ἄρδην λαβεῖν αὐτούς, τοὐναντίον ἐποίησαν. θορύβου γὰρ καὶ
στάσεως ἐνέπλησαν τὸ συνέδριον γόητα ἀποκαλοῦντες τὸν Ἀθανάσιον
καί τισι μαγγανείαις ἀπατᾶν αὐτὸν λέγοντες τῶν ἀνθρώπων τὰς
ὄψεις. καὶ ἐπαναστάντες ἐπ' αὐτὸν διασπᾶν ἐπεχείρουν καὶ κατα- 29
σφάττειν τὸν τῆς εὐσεβείας ὑπέρμαχον, κινοῦντες, ὡς εἰπεῖν, καὶ
αὐτὴν τὴν γῆν καὶ κονιορτὸν βάλλοντες εἰς τὸν ἀέρα κατ' ἐκείνους
τοὺς κατὰ τοῦ θείου ἀποστόλου Παύλου ποτὲ κράζοντας καὶ λέγοντας·
»αἶρετε αὐτὸν ἐν τάχει· οὐ γὰρ καθήκει αὐτὸν ζῆν«. ἀλλ' οἱ παρὰ 30

31 vgl. Archimedes bei Simplicius 424 — 32 vgl. Act. 22, 23 — 34 vgl. Act. 22, 22

A²

10 *μίσος* A² corr. Cer. (vgl. S. 178, 32) 12 *ἡσυχίας* am Rand von 1. Hd. nachgetragen A² 18 *τούτων ἐπιζητούμενος, μετὰ σφαγὴν δὲ ὑβρισμένος* Thdt. 26 *χῆναι* mit iota subscr. A²

τοῦ βασιλέως τὴν τῆς εὐταξίας πρόνοιαν πιστευθέντες τὸν φόνον ἐκώλυσαν. ἐξαρπάσαντες γὰρ τὸν νικηφόρον καὶ σκάφους ἐπιβῆναι παρασκευάσαντες τὴν σωτηρίαν προὐξένησαν. ὁ δὲ θεῖος Ἀθανάσιος ἐπιβὰς τοῦ σκάφους ἐπὶ τὸ στρατόπεδον ὥρμησεν ἐκφυγὼν τῶν μιαφόνων τὰς χεῖρας.

Αὐτοὶ δέ, ὡς εἶχον, ἐπὶ τὸν Μαρεώτην τινὰς τῶν ὁμοφρόνων 31
ἐπισκόπους ἀπέστειλαν, Θεύγνιον τὸν Νικαίας, Μάριν Χαλκηδόνος, Θεόδωρον τὸν Ἡρακλεώτην τῆς Θρᾴκης, Νάρκισσον τὸν Κίλικα, Οὐρσάκιον καὶ ἄλλους τινὰς τοὺς αὐτῶν ὁμόφρονας, ἐπὶ τῷ κατὰ μονομέρειαν πρᾶξιν αὐτοὺς ὑπομνημάτων ἐκεῖσε κατὰ Ἀθανασίου συστήσασθαι (ὁ δὲ Μαρεώτης ἐν τῇ Ἀλεξανδρείᾳ ἐστίν, ὁμώνυμος τῆς λίμνης Μαρίας, πλησίον αὐτῆς ὤν) ἐντειλάμενοι αὐτοῖς, ὡς τάχιστα 32
καὶ τὸν τῶν κακῶν αὐθέντην Ἄρειον στεῖλαι πρὸς αὐτοὺς εἰς τὴν Λιλίαν, τοῦτ' ἔστιν εἰς τὰ Ἱεροσόλυμα, ἐκεῖσε ἀπὸ τῆς Τύρου ἐξορμήσασι σὺν τοῖς ἐν τῇ συνόδῳ ἐπισκόποις· τὴν γὰρ σύνοδον ἅπασαν ἀπὸ τῆς Τύρου ἐπὶ τὰ Ἱεροσόλυμα συνελθεῖν μετὰ τῶν ἁπάντων ὁ βασιλεὺς ἁπανταχόθεν ἐπισκόπων καὶ αὖθις παρηγγύησεν, ὥς μοι καὶ πρότερον εἴρηται, ἐπὶ τῷ τοὺς ἐκεῖσε ὑπ' αὐτοῦ δομηθέντας καθιερῶσαι ναούς. συναπέστειλε δὲ καὶ τῶν εὐνουστέρων ἀρχόντων 33
τινάς, εὐσεβείᾳ καὶ πίστει λαμπρυνομένους, φιλοτίμως ἅπασι πάντα δι' αὐτῶν χορηγηθῆναι κελεύσας, οὐ μόνον ἀρχιερεῦσι καὶ ἱερεῦσι καὶ τοῖς τούτοις συνεπομένοις, ἀλλὰ καὶ τοῖς δεομένοις ἅπασι τοῖς πανταχόθεν συντρέχουσιν, ἀφάτου πλήθους συρρέοντος ἐκ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς κατὰ τὴν ἀνατολὴν γῆς ἐκεῖσε εἰς τὰ ἐγκαίνια τῆς νέας Ἱερουσαλήμ. διεκοσμεῖτο δὲ καὶ τὸ θεῖον θυσιαστήριον βασιλικοῖς παραπετάσμασι καὶ κειμηλίοις λιθοκολλήτοις χρυσοῖς.

Τοῦ δὲ ἀσεβοῦς Ἀρείου φθάσαντος εἰς τὴν Λιλίαν τῇ τῶν ἐγκαι- 34
νίων ἡμέρᾳ σὺν προθυμίᾳ πολλῇ, ἀκούσαντος μάλιστα ἀπολείπεσθαι τὸν Ἀθανάσιον τῆς ἑορτῆς ἐκείνης, ἀσμένως ὑπὸ τῶν ὁμοφρόνων, λέγω δὴ τῶν περὶ Εὐσέβιον τὸν Νικομηδείας καὶ Πατρόφιλον τὸν Σκυθοπολίτην, ὑπεδέχθη. οἱ δὲ τῆς ὀρθῆς ἀντιποιούμενοι πίστεως, 35
ἰδόντες τὸν Ἄρειον, ὡς μῦσος αὐτὸν ἀπεστράφησαν καὶ τῆς ἐκκλησίας ἐξήλασαν καὶ τῆς συνόδου διωχθῆναι προσέταξαν, ἐπὶ τῇ κατὰ Ἀλεξάνδρειαν αὐτοῦ ἀκουσθήσεσθαι συνόδῳ, ἐν ᾗ καὶ ἐάλω, ὁρισά-

18 s. S. 174, 29 — 27—S. 179, 2 Johannes?

A²

1 τὸν φόνον im Text undeutlich, am Rand wiederholt A² 9 am Rand von 1. Hd. ὁμογνώμονας A² 14 f ἐξορμάσασι A² 30 τῶν Holl] τὸν A²

μενοι. καθά, φασί, καὶ ὁ φιλόχριστος ἡμῶν βασιλεὺς Κωνσταντῖνος ἐκέλευσεν.

Οὕτω δὴ τοῦ λυμεῶνος ἐκποδὼν γενομένου καὶ τῆς ἑορτῆς εἰρη- 36
νικωτάτης καὶ λαμπροτάτης γενομένης, ὁ πανεύφημος βασιλεὺς καὶ
λίαν πιστότατος τὴν τῆς πανηγύρεως λαμπρότητα καὶ πολυτέλειαν
μεμαθηκώς, θυμηδείας ὅτι μάλιστα πλείστης ἔμπλεως γέγονε καὶ τὸν
τῶν ἀγαθῶν πρύτανιν ὑπερύμνησεν, ὅτι καὶ ταύτην αὐτῷ τὴν αἴτη-
σιν δέδωκε. τῆς μὲν οὖν τῶν ἐγκαινίων ἑορτῆς οὕτως ἐνδόξως 37
τελεσθείσης, οἱ πλεῖστοι τῶν ἐπισκόπων ἐπὶ τὰς οἰκείας ἐπανῆλθον
πατρίδας, ὅσοι μάλιστα τῇ ἐν Τύρῳ συνόδῳ γεγενημένῃ οὐ συνήδρευ-
σαν. οἱ δὲ τῆς φατρίας Εὐσεβίου τοῦ Νικομηδείας, ὅσοι σὺν αὐτῷ 38
τὴν λώβην Ἀρείου εἰσεδέξαντο, σὺν αὐτῷ Εὐσεβίῳ καὶ τοῖς ἄλλοις
ἐπισκόποις τὴν Τύρον κατειλήφασι, περιμένοντες ἐκεῖσε τοὺς ὁμόφρο-
νας ἀπὸ τοῦ Μαρεώτου.

Ἐν δὲ τῷ μεταξὺ φθάσας τὸ κομιτάτον ὁ μέγας Ἀθανάσιος 39
πρόσεισι τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ βασιλεῖ Κωνσταντίνῳ
καὶ πᾶσαν τὴν κατ' αὐτοῦ τολμηθεῖσαν ἐδίδαξε τραγῳδίαν. ὁ δὲ
συμπαθέστατος καὶ χρηστότατος βασιλεὺς Κωνσταντῖνος ὑπεραλγήσας
τὴν ψυχὴν ἐπὶ τοῖς κατὰ Ἀθανασίου τετολμημένοις καὶ κινηθεὶς ἐπὶ
τῇ κατ' αὐτοῦ ἀδίκῳ γεγενημένῃ κρίσει, μετὰ δακρύων μάλιστα ἐξαι- 40
τοῦντος τοῦ Ἀθανασίου κληθῆναι τούς τε κατηγόρους καὶ τοὺς δικα-
στὰς καὶ ἐπὶ αὐτοῦ τοῦ εὐσεβοῦς βασιλέως ἀνανεώσασθαι τὴν κρίσιν,
πέμπει τοῖς ἐν Τύρῳ ἀπὸ τῆς Αἰλίας ἀναζεύξασι γράμματα ὁ βασι-
λεύς, σημαίνοντα πρὸς αὐτῷ μὲν εἶναι τὸν Ἀθανάσιον, αὐτοὺς δὲ ὡς
τάχιστα φθάσαι εἰς τὴν Κωνσταντινούπολιν. τὰ δὲ γραφέντα ἐστὶ
ταῦτα·

Ἐπιστολὴ τοῦ θεοφιλοῦς βασιλέως Κωνσταντίνου πρὸς τοὺς ἐν Τύρῳ ἀπὸ τῆς Αἰλίας ἀναζεύξαντας ἐπισκόπους.

»Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς τοῖς ἐν Τύρῳ πάλιν 18 1
»συνελθοῦσιν ἐπισκόποις.

»Ἐγὼ μὲν ἀγνοῶ, τίνα ἐστὶ τὰ ὑπὸ τῆς ὑμετέρας συνόδου μετὰ
»τοσούτου θορύβου καὶ χειμῶνος κριθέντα· δοκεῖ δέ πως ὑπό τινος
»ταραχώδους ἀταξίας ἡ ἀλήθεια διεστράφθαι, ὑμῶν δηλαδὴ διὰ τὴν
»πρὸς τοὺς πλησίον ἐρεσχελίαν, ἣν ἀήττητον εἶναι βούλεσθε, τὰ τῷ

3—10 vgl. Thdt. I 31, 3 p 88 — **10—26** Johannes? — **29—S. 181, 34** Ausführlicher als Athan. apol. ad Ar. 86, der Quelle ist für Socr. I 34 p. 158ff. Soz. II 28. Johannes? (vgl. G. Loeschcke Rhein. Mus. LXI, 34ff.)

»θεῷ ἀρέσκοντα μὴ συνορῶντες. ἀλλ᾽ ἔστω τῆς θείας προνοίας 2
»ἔργον τὸ τὰ τῆς φιλονεικίας ἧττον μᾶλλον κακομαχίας ὑμῶν δεινὰ
»φανερῶς ἁλόντα διασκεδάσαι καὶ ἡμῖν διαρρήδην δεῖξαι, εἴ τινα τῆς
»ἀληθείας συνελθόντες αὐτόθι ἐποιήσασθε φροντίδα καὶ εἰ τὰ κεκρι-
»μένα χωρίς τινος χάριτος καὶ ἀπεχθείας ἐκρίνατε. τοιγαροῦν 3
»ἠπειγμένως πάντας ὑμᾶς πρὸς τὴν ἐμὴν ἐλθεῖν εὐλάβειαν βούλομαι,
»ἵνα τὴν τῶν πεπραγμένων ὑμῖν ἀκρίβειαν δι᾽ ἑαυτῶν ἐπ᾽ ἐμοῦ παρα-
»στήσητε. τίνος δὲ ἕνεκα ταῦτα γράψαι πρὸς ὑμᾶς ἐδικαίωσα καὶ
»ὑμᾶς διὰ τοῦ γράμματος πρὸς ἐμαυτὸν ἐκάλεσα, ἐκ τῶν ἑπομένων
»γνώσεσθε.

»Ὡς Ἀθανάσιος, ὁ ἐπίσκοπος τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας, 4
»ὁ τοῦ θείου νόμου φοιτητής, πρὸς μέ ἐστιν, ὃς εἰσιόντι μοι ἀπὸ
»προκέσσου ἐπὶ τὴν ἐπώνυμον ἡμῶν καὶ πανευδαίμονα Κωνσταντι-
»νούπολιν πρόσεισιν ἐν μέσῳ τῆς λεωφόρου μετὰ ἑτέρων τινῶν ὧν
»περὶ ἑαυτὸν εἶχε, πενθῶν δὲ καὶ ὀλοφυρόμενος, αἰφνίδιόν τε τὴν
»προέλευσιν ἐποιήσατο οὕτως, ὥστε καὶ ἐκπλήξεως ἀφορμὴν ἡμῖν
»παρασχεῖν. μαρτυρεῖ μοι γὰρ ὁ πάντων ἔφορος θεός, ὅτι οὔτε 5
»ἐπιγνῶναι αὐτόν, ὅστις ἦν, κατὰ τὴν πρώτην ὄψιν ἠδυνήθην, εἰ μὴ
»τῶν ἡμετέρων τινές, ὅστις ⟨ἦν⟩ καὶ τὴν ἀδικίαν, ἣν πέπονθε παρ᾽ ὑμῶν,
»διηγήσαντο πυνθανομένοις. οὕτως τεταπεινωμένον καὶ κατηφῆ τεθεά-
»μεθα τὸν ἄνδρα, ὥστε ἡμᾶς εἰς ἄφατον οἶκτον ἐπ᾽ αὐτῷ περιπεσεῖν,
»γνόντας ἐκεῖνον εἶναι τὸν Ἀθανάσιον, οὗ ἡ ἱερὰ θέα, ἱκανὴ πρὸς τὸ
»εἰς τὸν τῶν ὅλων θεὸν σέβας καὶ τοὺς ἐθνικοὺς ἐφελκύσαι, ὄντινα
»πάλαι πονηροί τινες ἄνδρες καὶ τῆς εἰρήνης καὶ ὁμονοίας ἀλλότριοι
»συκοφαντίαις οὐ ταῖς τυχούσαις περιέβαλλον, ὥστε καὶ [εἰς] ἐμὲ αὐτὸν 6
»ἐκ τῆς ἐκείνων πολυτέχνου ἀπάτης συναρπαγέντα μέλλειν [με] ἁμαρ-
»τεῖν εἰς τὸν ἄνδρα, εἰ μὴ θεία κρίσει κινηθεὶς ἐκέλευσα αὐτὸν τότε
»ἀπὸ τῆς Ἀλεξανδρέων ἐπὶ τὸ τῆς ἡμετέρας ἡμερότητος στρατόπεδον
»φθάσαι τὸ τάχος. καὶ οὕτως ἀνακριθεὶς παρὰ τῆς ἐμῆς εὐλαβείας 7
»περὶ τῶν κατ᾽ αὐτοῦ ψευδῶς δραματουργηθέντων, συστὰς ἐφ᾽ ἡμῶν
»ὁ ἀνὴρ ἑαυτῷ ἤλεγξε μὲν τῶν κατηγορημάτων τὸ ψεῦδος, ἀθῷος δὲ
»περὶ πάντων ἐκείνων ἀποφανθεὶς μετὰ τιμῆς ὅτι μάλιστα πλείστης
»παρ᾽ ἡμῶν ἐπὶ τὴν οἰκείαν ἀπεστάλη πατρίδα, ἀποδοθεὶς ἐν εἰρήνῃ
»τῷ ὑπ᾽ αὐτοῦ ἰθυνομένῳ ὀρθοδόξῳ λαῷ.

5 vgl. Tacitus ann. I 1: *sine ira et studio* und S. 174, 16

A²

15 *δὲ* von späterer Hd. getilgt A² **19** ⟨*ἦν*⟩ nach Athan. Ltz. **20** *διηγήσαντο* G. L.] *διηγήσατο* A² **23** nach *ὅλων* wiederholt: *γνόντας ἐκεῖνον* u. wieder gestrichen, wonach die Zeilenlänge der Vorlage zu bestimmen A² **25** *εἰς* von späterer Hd. beanstandet A² **25f** corr. Ltz.

»Νῦν δὲ πάλιν χείρονα τῶν πρώτων τὰ δεύτερα κατ' αὐτοῦ τε- 8
»τολμῆσθαι βοᾷ μετὰ πλείονος παρρησίας, οὐδὲν ἕτερον παρ' ἡμῶν
»αἰτῶν ἢ τὴν ὑμετέραν πρὸς ἡμᾶς ἄφιξιν, ἣν ἠξίωσεν αὐτῷ ὑπάρξαι,
»ἵν' ὑμῶν παρόντων ἃ πέπονθεν ἀναγκαίως ἀποδύρασθαι δυνηθῇ. ὅ- 9
»περ ἐπειδὴ εὔλογον εἶναι καὶ τοῖς καιροῖς πρέπον ἡμῖν κατεφάνη,
»ταῦτα γραφῆναι πρὸς ὑμᾶς προσέταξα, ἵνα πάντες ὅσοι τὴν ἐν Τύρῳ
»σύνοδον γενομένην ἀνεπληρώσατε, ἀνυπερθέτως εἰς τὸ στρατόπεδον
»τὸ ἡμέτερον φθάσαι ἐπειχθῆτε, τοῖς ἔργοις αὐτοῖς ἐπιδεικνύοντες τὸ
»τῆς ὑμετέρας κρίσεως καθαρόν τε καὶ ἀδιάστροφον, ἐπ' ἐμοῦ δηλαδὴ
»ὃν τοῦ θεοῦ εἶναι [με] γνήσιον θεράποντα οὐδ' ἂν ὑμεῖς ἀρνήσησθε τὰ 10
»κεκριμένα παρ' ὑμῶν ⟨ἀπολογούμενοι⟩. τοιγαροῦν διὰ τῆς ἐμῆς πρὸς
»τὸν θεὸν λατρείας τὰ πανταχοῦ εἰρηνεύεται καὶ τῶν βαρβάρων αὐτῶν
»τὰ πλεῖστα ἔθνη τὸ τοῦ θεοῦ ὄνομα γνησίως εὐλαβουμένων, ἃ μέχρι
»νῦν τὴν ἀλήθειαν ἠγνόουν — δῆλον δὲ ὅτι ὁ τὴν ἀλήθειαν ἀγνοῶν
»οὐδὲ τὸν θεὸν ἐπιγινώσκει — πλὴν ὅμως, καθὰ προείρηται, καὶ οἱ
»βάρβαροι αὐτοὶ νῦν δι' ἐμέ, τὸν τοῦ θεοῦ θεράποντα γνήσιον, ἐπέ-
»γνωσαν τὸν θεὸν καὶ εὐλαβεῖσθαι μεμαθήκασιν, ὃν ὑπερασπίζειν μου
»καὶ προνοεῖσθαι πανταχοῦ τοῖς ἔργοις αὐτοῖς ἤσθοντο· ὅθεν μάλιστα
»καὶ ἴσασι τὸν θεόν, ὃν ἐκεῖνοι μὲν διὰ τὸν πρὸς ἡμᾶς φόβον εὐλαβοῦν-
»ται. ἡμεῖς δὲ οἱ τὰ ἅγια μυστήρια τῆς εὐμενείας αὐτοῦ δοκοῦντες 11
»προβάλλεσθαι, οὐ γὰρ εἴποιμι φυλάττειν, οὐδὲν ἕτερον πράττομεν ἢ
»τὰ πρὸς δικόνοιαν καὶ μῖσος συντείνοντα καί, ἁπλῶς εἰπεῖν, τὰ πρὸς
»ὄλεθρον τοῦ ἀνθρωπείου γένους ἔχοντα τὴν ἀναφοράν.

»Ἀλλ' ἐπείχθητε, καθὰ προείρηται, πρὸς ἡμᾶς τὸ τάχος, πεπεισ- 12
»μένοι, ὡς παντὶ σθένει κατορθῶσαι πειράσομαι, ὅπως ἐν τῷ νόμῳ
»τοῦ θεοῦ ταῦτα ἐξαιρέτως ἀδιάπτωτα φυλάττηται, οἷς οὔτε ψόγος
»οὔτε κακοδοξία τις προσπλακῆναι δυνήσεται, διασκεδασθέντων δη-
»λαδὴ καὶ συντριβέντων ἄρδην καὶ παντελῶς ἀφανισθέντων τῶν
»ἐχθρῶν τοῦ νόμου τοῦ θεοῦ, οἵτινες ἐπὶ προσχήματι τοῦ ἁγίου ὀρό- 13
»ματος ποικίλας καὶ διαφόρους βλασφημίας πρὸς ἀπάτην τῶν ἁπλου-
»στέρων προφέρουσιν, ἐπιποθοῦντες ὡς οἷόν τε τὸ τῆς καθολικῆς
»ἐκκλησίας καθαρόν, ἥντινα ὁ ἡμέτερος σωτὴρ ἄσπιλον διαφυλάττει
»καὶ ἁγίαν καὶ ἄμωμον, τῷ σωτηριώδει καὶ τιμίῳ αὐτοῦ αἵματι ἀγο-
»ράσας αὐτήν, καθὼς οἱ θεῖοι αὐτοῦ καὶ ἀραγεῖς διαγορεύουσι νόμοι«

33 vgl. Ephes. 5, 25ff

A²

3 αἰτῶν Cer.] αὐτῶν A² | ὑμετέραν Cer.] ἡμετέραν A² **10** ὃν Athan.] ὄντος A² | με > Athan. **10** ἀρνηθείητε Athan. **10f** τὰ—ὑμῶν > Athan. erg. etwa ⟨ἀπολογούμενοι⟩ Ltz. **31** ἐπιποθοῦντες—**34** νόμοι > Socr.

Ταῦτα τὰ γράμματα εἰς ἀγωνίαν τοὺς ἐν τῇ συνόδῳ κατέστησαν, 14
μάλιστα τοὺς περὶ Εὐσέβιον τὸν Νικομηδείας. οἱ μέντοι ἐν τῷ Μαρεώτῃ ὑπ' αὐτῶν σταλέντες καὶ τὰ ψευδῆ ὡς ἀληθῆ ἐγγράψαντες, πρᾶξιν ὑπομνημάτων κατὰ Ἀθανασίου τοῦ μεγάλου συστησάμενοι κατὰ μονομέρειαν πρὸ τῶν βασιλικῶν τούτων γραμμάτων, φθάζουσιν ἐν τῇ Τύρῳ τῶν θαυμαστῶν ἐπισκόπων τὴν σύνοδον. ἀλλ' οὐ 15
πάντες τὴν πλαστὴν ἐκείνην καὶ τῶν μυσαρῶν ἐκείνων συκοφαντῶν γέμουσαν κατὰ Ἀθανασίου πρᾶξιν προσεδέξαντο. ὅθεν οἱ πλεῖστοι αὐτῶν τὰ τοῖς βασιλικοῖς γράμμασι περιεχόμενα ἐκ τῆς ἀναγνώσεως μεμαθηκότες ἐπὶ τὰ ἑαυτῶν δείσαντες ἀνεχώρησαν. οἱ δὲ περὶ 16
Εὐσέβιον τὸν Νικομηδείας καὶ Θεόγνιον καὶ τοὺς σὺν αὐτοῖς τέως ἐν τῇ Τύρῳ ἐχρόνιζον, παρέλκοντες ἑκοντὶ τὸν καιρόν, ἔγραφον δὲ τῷ εὐσεβεῖ βασιλεῖ ἄκοντας ἐπέχεσθαι ἐκεῖσε, ἐπειγομένους ἐξορμᾶν πρὸς αὐτὸν καὶ τὴν τῶν πλαστῶν ὑπομνημάτων πρᾶξιν, ἣν ὡς μῦσος ἀπέρριψε καὶ οὔθ' ὅλως προσδέξασθαι ἠρέσχετο βασιλεὺς ὁ πιστότατος, ἥκειν ἅπαξ πρὸς αὐτὸν τοὺς ἀλιτηρίους κελεύσας.

Ἐν δὲ τῷ μεταξὺ βραδυνάντων αὐτῶν, τῶν περὶ Εὐσέβιον λέγω, 17
μετὰ τιμῆς ὅτι μάλιστα πλείστης τὸν Ἀθανάσιον ἐπὶ τὴν Ἀλεξάνδρειαν πάλιν ἀπέπεμψε, γράψας καὶ αὖθις τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ, ὅτι ὁ αὐτῶν ἐπίσκοπος Ἀθανάσιος ψευδῶς διεβέβλητο. καὶ ὡς ἡ καθαρότης αὐτοῦ ἐν πᾶσι τηλαυγῶς ἐξέλαμψεν. ἐν δὲ τῷ παρεῖναι 18
τὸν Ἀθανάσιον κατὰ τὴν Ἀλεξάνδρειαν καὶ συγκροτεῖσθαι κατὰ τὰς βασιλικὰς κελεύσεις καὶ τὰς τῶν ὀρθοδόξων ἐπισκόπων τῶν εἰς τὰ ἐν Ἱεροσολύμοις ἐγκαίνια συναχθέντων προστάξεις ⟨τὴν σύνοδον⟩, ἁπαντᾷ τὰ κατὰ τὸν Ἄρειον, καὶ πολλή τις ἦν τοῦ πλήθους συνέλευσις καὶ ἐλπὶς ἐπὶ ταλαντευούσῃ ἐκβάσει περιαγομένη, μάλιστα πάντων ὁρώντων τὰ τοσούτοις καὶ τηλικούτοις ἐπισκόποις συμφώνως δόξαντα καὶ κρι- 19
θέντα πάλιν διασκυλλόμενα. ὁρῶν τοίνυν ὁ θεῖος Ἀθανάσιος ταραττομένην τὴν Ἀλεξάνδρειαν καὶ πᾶσαν τὴν Αἴγυπτον οὐ παρεσιώπησεν, ἀλλὰ φανερὰ διὰ γραμμάτων ταῖς εὐσεβέσιν ἀκοαῖς τοῦ πάντα ἀρίστου καὶ θεοφιλοῦς βασιλέως κατέστησεν. 20

Ὡς δὲ ἔγνω ὁ βασιλεὺς διεστράφθαι τὸν Ἄρειον, πάλιν μετάπεμπτον αὐτὸν ἐπὶ τὴν Κωνσταντινούπολιν ἀχθῆναι προσέταξε, δώσοντα λόγον, ὧν ἀνακαινιεῖν πάλιν ἐτόλμησε, γράψας αὐτῷ καὶ τοῖς σὺν αὐτῷ ἐπιστολὴν τῆς κατ' αὐτῶν ἀγανακτήσεως γέμουσαν. τὰ δὲ γραφέντα ἐστὶ ταῦτα·

1 vgl. Socr. I 35, 1 p. 163 — **3—35** Johannes? — **4** vgl. oben S. 178, 10

A² A¹ (von Z. 7 *σύνοδον* an)

1 *ἀγῶνα* Socr. **14** *πρᾶξιν ⟨ἀπέστειλαν⟩* wohl zu Unrecht Ceriani **24** corr. Ltz.

Ἐπιστολὴ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου πρὸς Ἄρειον καὶ Ἀρειανούς.

»*Κωνσταντῖνος Σεβαστὸς Ἀρείῳ καὶ Ἀρειανοῖς.* 19 1
»*Κακὸς ἑρμηνεὺς αὐτόχρημα εἰκών τε καὶ ἀνδριάς ἐστι τοῦ διαβόλου.*
»*ὥσπερ γὰρ ἐκεῖνον οἱ δεινοὶ πλάσται πρὸς ἀπάτης δέλεαρ πλάττουσιν,*
»*οἱονεὶ κάλλους αὐτῷ εὐπρέπειαν προσμηχανώμενοι, αἰσχίστῳ καθάπαξ*
»*ὄντι τῇ φύσει, ὅπως ἂν τοὺς ταλαιπώρους ἀπολλύοι πλάνην αὐτοῖς*
»*προτείνων, τὸν αὐτὸν οὗτος ἂν οἶμαι τρόπον ποιήσειεν, ᾧ μόνον σπου-*
»*δῆς ἄξιον τοῦτ᾽ εἶναι δοκεῖ, τὸ τὰ τῆς οἰκείας ἰταμότητος δηλητή-*
»*ρια ἀφειδῶς προβάλλεσθαι. τοιγάρτοι καὶ νῦν καὶ ἀφ᾽ οὗ γεγόνασιν* 2
»*ἄνθρωποι οὐδεπώποτε φανεῖσαν ἀπιστίας εἰσάγει πίστιν, διόπερ*
»*οὐδὲν τῆς ἀληθείας ἄρα ἀπᾴδον ἐκεῖνο φαίνεται τὸ πάλαι τῇ θείᾳ*
»*ῥήσει διηρθρωμένον, ὅτι πρὸς τὸ κακὸν εἰσὶ πιστοί. τί δ᾽ ἄν τις* 3
»*ἐκεῖνο λέγοιτο τὴν τοῦ βουλεύεσθαι χάριν αὐτὸν ἀπολωλεκότα μη-*
»*κέτι κουφισμοῦ τινα ἐπικουρίαν εὕρασθαι ἐπιθυμεῖν; τί τοίνυν φημί,*
»*Χριστὲ Χριστέ, κύριε κύριε; τί δήποτε ἡμᾶς τὸ ληστήριον ὀσημέραι*
»*τιτρώσκει; ἔστηκεν ἐξεναντίας δεινή τις βιαία τόλμα, βρυχᾶται ἐπι-*
»*πρίουσα τὸν ὀδόντα δύσμορφος ὑπ᾽ ἀτιμίας καὶ παντοδαποῖς περι-*
»*τετρωμένη ἐγκλήμασιν. αὕτη μέντοι ἐν τῷ νόμῳ καὶ τῷ περὶ σοῦ* 4
»*κηρύγματι, ὥσπερ τισὶ ζάλαις καὶ τρικυμίαις κακῶν διαφορουμένη,*
»*ἐξερεύγεται μὲν ἐξώλεις λόγους, γράφουσα δὲ τούτους ἐκφαίνει, οὓς*

2 ff Der Brief ist vollständig außer bei Gelasius nur in der Urkundensammlung der Athanasiushandschriften überliefert. Für den Athanasiustext liegt G. Loeschckes Collation des cod. Paris. 474 saec. XI (= Athan. R) und des cod. Basil. A III 4 saec. XIV (= Athan. B) vor (ihre Übereinstimmung = Athan.). Für nähere Angaben vgl. G. Loeschcke im Rhein. Mus. LXI, 38ff — **12** vgl. Jerem. 4, 22

A¹H V¹P³ M²P¹ Athan. B R

1 Die Überschrift nach dem Index **2** Die Adresse am Fuß der Seite H | *Ἀρείῳ καὶ τοῖς σὺν αὐτῷ* Athan. **3** *τε* > Athan. | *ἀνδρείας* M² | *ἐστι* > Athan. **6** *τὴν φύσιν* A¹ | *ἀπολλύῃ* A¹ *ἀπολλοίη* HM²P¹ | *πλάνας* HM²P¹ **7** *προτεί-νων*] *προπίνων* Athan. B *προπείνων* Athan. R *οὗτος* V¹P³, durch Rasur corr. aus *οὕτως* Athan. R *οὕτως* d. übr. HSS | *τρόπον* > A¹ **9** *προβαλέσθαι* A¹ *προβαλλέσθαι* V¹P³ *προσβάλλεσθαι* Athan. R | *καὶ νῦν* HSS] *καινὴν* Athan. **10** *φανεῖσα ἀπιστία* anscheinend durch Rasur aus *φανεῖσαν ἀπιστίας* A¹ **11** *οὐδὲ* HM²P¹ **13** *λέγοιτο* von späterer Hd. am Rand P³ Athan. *λέγεσθαι* A¹HM²P¹V¹ **15** *τὸ* + *ἀσεβὲς τοῦτο* Athan. **16 f** *ἐπιτρίουσα* V¹ **17 f** *περιτετρωμένος* H **19** *καὶ* M²P¹P³ (wo es von späterer Hd. eingeschoben) Athan. > d. übr. HSS

›οὐδέποτε σὺ τῷ ἀιδίῳ τῆς σαυτοῦ πηγῆς τῷ πατρὶ συνυπάρχων ταῖς ›περὶ σαυτοῦ γνώσεσιν ἀφώρισας. συνάγει δὲ ὅλως καὶ συμφορεῖ ›δεινὰ ἄττα καὶ ἄνομα ἀσεβήματα. νῦν μὲν τὰς γλώττας κραδαίνουσα, ›νῦν δ' αὖ πάλιν ταῖς τῶν ἀθλίων σπουδαῖς ἐπαιρομένη, οὓς ἐπ' ›ἀδείας αὐτὴ παρόντας ἐξαπατᾷ καὶ φθείρει.

›Βούλομαι δὲ ἤδη τοῦ προέδρου αὐτῆς τὴν φύσιν ἐξετάσαι. τί γὰρ 5 ›δὴ λέγει; »ἢ κατέχωμεν, φησίν, οὗ ἤδη ἐγκρατεῖς γεγόναμεν, ἢ γενέσθω ›ὡς αὐτοὶ βουλόμεθα«. πέπτωκε, καὶ ταῦτα πέπτωκεν ἀναιρούμενος, ›»δόλῳ, φησίν, ἢ δεινότητι πανουργίας«· οὐδὲν διαφέρει. σεμνὸν 10 ›μόνον ἡγεῖται, ὃ διὰ πονηρᾶς ἐπινοίας εἰς αὐτὸν εἰσερρύη· »πλή- ›θη, φησίν, ἔχομεν«. προβήσομαι δὴ μικρὸν αὐτὸς ἐπὶ τὸ πρό- 6 ›σθεν, ὡς ἂν τῶν τῆς μανίας πολέμων θεατὴς γένωμαι. αὐτός, ἔφην, ›ἐγὼ προβήσομαι, ὁ τοὺς τῶν ἀφρόνων πολέμους παύειν εἰωθώς. ›ἄγε δή, Ἄρες Ἄρειε, ἀσπίδων χρεία. μὴ σύ γε τοῦτο ποιήσῃς, ἱκε- 15 ›τεύομεν· ἐπισχέτω γοῦν σε ἡ τῆς Ἀφροδίτης ὁμιλία. ἀλλὰ γὰρ εἴθε ›ὡς τοῖς ὄχλοις ἄριστα συνεκκροτεῖσθαι δοκεῖς, οὕτω σοι τῇ περὶ τὸν ›Χριστὸν εὐσεβείᾳ προσῆν ἀκμάζειν. ἰδοὺ δὴ πάλιν αὖ ἑκέτης ἔρχο- 7 ›μαι, καὶ τοῖς ὅπλοις πᾶν πλῆθος ἰσχύων μάχεσθαι μὲν οὐκ ἐθέλω, ›τῇ δὲ τοῦ Χριστοῦ πεφραγμένος πίστει σέ τε ἰάσασθαι καὶ τοὺς ἄλ- 20 ›λους θεραπεῦσαι βούλομαι. τί οὖν φῄς ταῦτα πράττειν, ἃ μὴ τοῖς 8 ›ἤθεσι προσῆκε τοῖς σοῖς; ἀλλὰ μετὰ ποίας ἡσυχίας, εἰπέ μοι, ἢ τίνα ›περιουσίαν περιβεβλημένος. μᾶλλον δὲ ἐφ' ὅ τι προπετείας ἐληλακώς; ›ὦ τόλμης ὑπὸ κεραυνῶν ἀξίας καθαιρεθῆναι. ἀκούσατε γὰρ ἃ δεδή- ›λωκε πρώην πρὸς μέ, ἰὸν ἀποστάζοντι γράφων τῷ καλάμῳ. »οὕτω,

14 vgl. Epiph. haer. 69, 9 Homer Il. E 31

A¹H V¹P³ M²P¹P² (von Z. 22 *περιουσίαν* an) Athan. B R

1 *σὺ τῷ* Athan.] *οὕτω* A¹ *οὐ τῶ* H *ὁ τῶ* d. übr. HSS | *σαυτοῦ* Athan.] *αὐτοῦ* A¹ (aber corr. in *σαυτοῦ*), HM²P¹V¹P³ (aber von späterer Hd. *σ* vorgesetzt) | *πηγῆ*(?) A¹ **5** *αὕτη* Athan. **7** *δὴ λέγει*] *ἃ ἢ λέ* aber von späterer Hd. gestrichen und am Rand eingetragen *πλάνη* P³ | *ἢ*¹] *ἡ* A¹HM²P¹ | *κατέχωμεν* Athan.] *κατεχομένη* HSS | *οὗ*] *ἧς* A¹ *ἢ οὗ* Athan. | *γενέσθαι* M²P¹V¹P³ **8** [*ταῦτα πέπτωκεν*] A | *ἀναιρούμενος*] *καὶ ἀρνούμενος* Athan. **9** *δειλιότητι* P³ | *οὐδὲ* P³ **11** [*δὴ μικρὸν*] A¹ | *δή*] *δὲ* M²P¹ **14** *ἀσπίδων* + *ἢ* oder *ἢ* HSS + *ει* Athan., beides falsch: *η* ist Dittographie des vorhergehenden *ν*; es fehlt bei Epiphanius haer. 69, 9 G.L. | *ποιήσεις* H **15** *γ'οὖν σε ἤγουν τῆς* HSS (nur für *σε τε* H] *γ'οὖν σε ἢ τῆς* Athan., doch in R nach *ἡ* ein durch Rasur von etwa vier Buchst. entstandenes Spatium **16** *συνεκροτῆσθαι* Athan. | *τὸν* > H **17** *δὴ* > H **18** *ὅπλοις*] *ὄχλοις* M²P¹ | *πᾶν τὸ πλῆθος* H *παμπληθὲς* Athan. **20** *μὴ* A¹H Athan. **21** *μεθ' ὁποίας* Athan. **23** *τόλμη* P³ | *ἀξίας* V¹P³ Athan. *ἀξίως* A¹HM²P¹P² | *ἃ*] *οἷα* Athan. **24** *ἰὼν* (so!) V¹ | *ἀποστάζοντα* HSS corr. G.L.

»φησί, πιστεύομεν«. εἶτ', οἶμαι, προσθεὶς οὐκ οἶδα ἅττα σοβαρῶς πως
»καὶ μάλα ἀκριβῶς ἐξησκημένα, προϊὼν πορρωτέρω οὐδὲν ὅ τι τῶν
»δεινῶν ἀπεσιώπησεν· ἀλλ' ὅλον, ὡς ἂν εἴποι τις, τὸν τῆς παρανοίας
»ἠνέῳξε θησαυρόν. »ἀπελαυνόμεθα«, φησί, »καὶ τὴν τοῦ εἰσδεχθῆναι 9
»ἡμᾶς ἄδειαν ἀφαιροῦνται«· ἀλλ' οὐδέν πω ταῦτα πρὸς τὸ πρᾶγμα·
»τοῖς δὲ ἑξῆς προσέχετε τὸν νοῦν· αὐτοῦ γὰρ χρήσομαι τοῖς ῥήμασι.
»»δεόμεθα«, φησίν, »ἐὰν ἐπὶ τῆς αὐτῆς ἐπιμένῃ γνώμης ὁ τῆς Ἀλεξαν-
»δρείας ἐπίσκοπος, ἄδειαν ἡμῖν τοῦ λοιποῦ δοθῆναι κατὰ τὴν τοῦ
»νόμου διάταξιν τὰς ἐνθέσμους καὶ ἀπαραιτήτους θεραπείας τῷ θεῷ
»ἐπιτελεῖν«. ὦ δεινῆς ἀναιδείας, ἣν σπουδῇ τῆς ἀληθείας ἀπε- 10
»λέγξαι προσῆκεν. ὃ γὰρ αὐτῷ καθ' ἡδονὴν ἐτύγχανεν ὄν, τοῦτο τῇ
»συντομίᾳ τῆς φράσεως ἀπετυπώσατο. τί φής, ἄτοπε; διάστασιν εὐ-
»πρόσωπον ἡμῖν τὸ σαθρὸν τῆς κατ' ἐμὲ ἀγρίας σου διανοίας ἐπιτει-
»χίζειν μηχανᾷ; καὶ τοὺς ἐπὶ κακῷ σοι προσπλακέντας ἀπολέσαι σπεύ-
»δεις; »τί οὖν«, φής, »πράξω, εἰ μηδεὶς ἄξιον ἡγεῖταί με δέξασθαι«; 11
»τοῦτο γὰρ πολλάκις ἐκ τῆς ἀνοσίας φάρυγγος ἐκβοᾷς· ἐγὼ δὲ τοὐ-
»ναντίον ἔρομαί σε· ποῦ δὲ σαφὲς γνώρισμα καὶ μαρτύριον τῆς σεαυτοῦ
»διανοίας ἐπεδείξω; ἦν ἐχρῆν σε διαπτύξαντα καὶ τοῖς θείοις καὶ τοῖς
»ἀνθρωπίνοις σαφῆ καταστῆσαι, καὶ μάλισθ' ὅτι τὰ ἰοβόλα τῶν ἑρπε-
»τῶν τὸ τηνικαῦτα μᾶλλον ἀγριαίνειν πέφυκεν, ὅταν ἑαυτὰ τοῖς τῶν
»φωλεῶν μυχοῖς ἐνηδρυνθέντα αἴσθηται.
»Ἐκεῖνο δέ γε λίαν ἀστεῖον αὐτοῦ τὸ σπουδαίως εὖ μάλα καθά- 12
»περ ὑπό τι προσωπεῖον αἰδοῦς σιγὴν πλάττεσθαι. τῇ μὲν τοῦ σχή-
»ματος τέχνῃ τιθασσὸν σεαυτὸν καὶ χειροήθη σύ γε παρέχεις, κακῶν
»δὲ μυρίων καὶ ἐπιβουλῶν ἔνδον γέμων τοὺς πολλοὺς λέληθας. ἀλλ'
»ὦ τῆς ἀθλιότητος· ὡς ὁ πονηρὸς βεβούληται, οὕτως Ἄρειον ἡμῖν
»ἀνομίας ἐργαστήριον κατεστήσατο. λέγε δὴ νῦν μοι παρελθὼν τῆς 13

A¹H V¹P³ M²P¹P² Athan. B R

1 εἶτ' οἶμαι] εἶς(?) οἶμαι A¹, ὡς οἶμαι H · **3** εἴπῃ V¹ | τὸν] τῶν M²P¹ | παρανοίας] παροινίας P² Athan. B **4** ἀνέωξε Athan. **5** οὐδέν πω] οὐδέπω P³ **6** προσέχεται V¹ **7** γνώμης ἐπιμένῃ ∾ H | ἐπιμείνῃ Athan. B **10** nach ἦν scheint ἡ oder ᾗ durch Rasur getilgt H **10f** ἀπελέγξεται (ασθαι) (die Correctur von späterer Hd.) P³ **12** τῆς συντομίας H | ἀνετυπώσατο Athan. B **13** τῷ σαθρῷ Athan. | ἀγρίας σου διανοίας] ἀγνοίας σου, worauf διανοίας oder Entsprechendes durch Rasur getilgt A¹ | κατ' ἐμὲ ἀγρίας] κατεαγυίας Athan. **14** προσπλέκοντας HP¹ (am Rand) **16** δὲ > P² **17** Ἢ ἠ ἐρ σομαι (so!) A¹ | δὲ] μὲν οὖν Athan. B | ἑαυτοῦ A¹ **19** μάλιστα τότε τὰ Athan. **20** ἀγριαῖνον H **21** ἐνηδρυνθέντα A¹ ἐνηδρυθέντα V¹P³ ἐνιδρυνθέντα Athan. B ἐνιδρωθέντα H ἐνιδρυθέντα d. übr. HSS **23** πλάττεσθαι V¹P³ πλάττεται A¹HM²P¹P² Athan. **26** Ἄρειος Athan. **27** δὴ A¹P² Athan. δὲ d. übr. HSS | νῦν nachträglich eingefügt H

»σεαυτοῦ πίστεως τὸ γνώρισμα καὶ μηδαμῶς γε ἀποσιωπήσῃς, ὦ τὸ »μὲν στόμα διάστροφον τὴν δὲ φύσιν ὀξύρροπον πρὸς πονηρίαν κεκτη»μένε· »ἕνα λέγεις θεόν«; σύμψηφον ἔχεις κἀμέ, οὕτω φρόνει. »τῆς οὐσίας »αὐτοῦ ἄναρχον καὶ ἀτελεύτητον λόγον λόγον εἶναι« φῄς; στέργω τοῦτο· »οὕτω πίστευε. εἴ τι περαιτέρω προσπλέκεις. τοῦτ' ἀναιρῶ· εἴ τι 14 »πρὸς ἀσεβῆ χωρισμὸν συγκαττύεις, τοῦτο οὔτε ὁρᾶν οὔτε νοεῖν »ὁμολογῶ· εἰ »τὴν τοῦ σώματος ξενίαν πρὸς οἰκονομίαν τῶν θείων »ἐνεργειῶν« παραλαμβάνεις. οὐκ ἀποδοκιμάζω. εἰ »τὸ πνεῦμα τῆς ἀϊδιό»τητος ἐν τῷ ὑπερέχοντι λόγῳ γεγεννῆσθαι« λέγεις, δέχομαι. τίς ἔγνω »τὸν πατέρα. εἰ μὴ ὁ ἐλθὼν ἀπὸ τοῦ πατρός; τίνα ἔγνω ὁ πατήρ, εἰ »μὴ ὃν ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγέννηκε; σὺ μὲν »ὑπόστασιν »ξένην« ὑποτάττειν οἴει δεῖν κακῶς ὅπου πιστεύων, ἐγὼ δὲ τῆς »ὑπερεξόχου καὶ ἐπὶ πάντα διηκούσης δυνάμεως τὸ πλήρωμα πατρὸς »καὶ υἱοῦ οὐσίαν μίαν εἶναι γινώσκω. εἰ τοίνυν σὺ ἀφαιρεῖς μὲν 15 »ἀπ' ἐκείνου, ἀφ' οὗ χωρισθῆναι οὐδὲ διανοίᾳ τῶν ἐρεσχελούντων »δεδύνηται οὐδεπώποτε οὐδέν, προσθήκης δὲ χαρακτῆρας εἰδοποιεῖς »καὶ ὅλως γνωρίσματα ζητήσεων διορίζεις ἐκείνῳ ᾧ ὁλόκληρον μὲν »ἐξ ἑαυτοῦ τὴν ἀϊδιότητα δέδωκεν, ἀδιάφθορον δὲ τὴν ἔννοιαν, ἀθα»νασίας τε δι' ἑαυτοῦ καὶ ἐκκλησίας ἔνειμε πίστιν, κατάβαλε οὖν δή, »κατάβαλε τὸ εὔηθες τοῦτο ἀνόμημα. ὦ ἀστεῖε σὺ καὶ εὔφωνε καὶ τὰ »κακὰ πρὸς ἀπιστίαν τῶν ἀνοήτων ἐξῳδῶν. εἰκότως ἄρα σε ὁ πονη- 16 »ρὸς τῇ ἑαυτοῦ κατεστρέψατο κακίᾳ καὶ τοῖς μὲν ἴσως ἤδὺ τὸ τοι»οῦτον εἶναι δοκεῖ (οὕτω γὰρ σεαυτὸν πέπεικας), ἔστι δὲ πάντῃ ὀλέ»θριον τὸ κακόν. φέρε δή, τῆς ἐν τοῖς ἀτοπήμασι διατριβῆς ἀπαλ- 17 »λαγεὶς ἄκουε, ὦ δαιμόνιε Ἄρειε· σοὶ γὰρ διαλέγομαι. τῆς ἐκκλησίας »δήπου τοῦ θεοῦ ἀποκεκηρυγμένος οὐκ αἰσθάνῃ; ἀπόλωλας. εὖ ἴσθι, »ἐὰν μὴ βλέψας εἰς σεαυτὸν τὴν παροῦσάν σοι κατακρίνῃς ἄνοιαν. »ἀλλ' ἐρεῖς, ὡς ὄχλοι συμπράττουσί σοι καὶ τὰς φροντίδας ἀπελαφρύ»νουσιν.

9 ff vgl. Matth. 11, 27 und Luc. 10, 22

A¹H V¹P³ M²P¹P² Athan. B R

1 τὸ¹ > H | σιωπήσῃς H | ὦ] ὃς A¹ 6 συγκαττύεις Athan.] συγκατατάττεις HSS 9 γεγεννῆσθαι P²V¹P³ Athan. B 11 ἑαυτοῦ H 12 δεῖν > Athan. B 13 διοικούσης H | πλήρωμα + τοῦ Athan. 14 σὺ > H 15 οὐδὲ + ἡ P³ 16 οὐδέποτε HM²P¹P² | χαρακτῆρος(?) A¹ | εἰδοποιεῖς Athan.] ὁδοποιεῖς HSS 19 τε] δὲ Athan. | καὶ] τῇ (auf Rasur) A¹ | ἐκκλησία A¹ | δὴ οὖν ∾ A¹ 22 τῆς H | γνωμῇ (κακίας) H | ἡδύ] ἤδη V¹ 23 εἶναι δοκεῖ] ἐδόκει Athan. B | πέπεικας] πεποίηκας Athan. | δὲ > M²P¹P² 24 τῆς] τοῖς M²P¹ 26 αἰσθάνῃς P³ 27 ἑαυτὸν A¹P³ Athan. | σοι] σοῦ Athan. | κατακρίνεις P³

»Ἄκουε οὖν δὴ μικρὸν ὑποσχὼν τὰ ὥτα, ὦ ἀνόσιε Ἄρειε, καὶ 18
»σύνες τὴν σεαυτοῦ ἄνοιαν. σὺ δέ, ὦ πάντων κηδεμὼν θεός, εὐμε-
»νὴς εἴης τῷ λεγομένῳ, εἰ πίστεως ἔχοιτο. ἐγὼ γὰρ ὁ σὸς ἄνθρωπος
»ἵλεω ἔχων τὴν παρὰ σοῦ προμήθειαν καὶ ἐξ Ἑλληνικῆς καὶ ἐκ Ῥω-
»μαϊκῆς γραφῆς πάνυ ἀρχαιοτάτης σαφῶς ἀποδείξω τὴν Ἀρείου μανίαν
»πρὸ τρισχιλίων που ἐτῶν ὑπὸ τῆς Ἐρυθρᾶς προρρηθεῖσάν τε καὶ
»προφημισθεῖσαν. ἔφη γὰρ ἐκείνη γε· »οὐαί σοι, Λιβύη, ἐν παραλίοις 19
»κειμένη χώροις· ἥξει γάρ σοι καιρός, ἐν ᾧ μετὰ τῶν δήμων καὶ τῶν
»σαυτῆς θυγατέρων δεινὸν ἀγῶνα καὶ ὠμὸν καὶ παγχάλεπον ὑπελθεῖν
»ἀναγκασθήσῃ, ἀφ' οὗ κριτήριον μὲν εἰς ἅπαντας πίστεώς τε καὶ
»εὐσεβείας διαδοθήσεται, σὺ δὲ πρὸς ἔσχατον ἀποκλινεῖς καταστροφῆς·
»ὑμεῖς γὰρ τῶν οὐρανίων ἀνθῶν τὸ δεκτήριον ἀνασπάσαι τετολμή-
»κατε καὶ δήγματι σπαράξαι καὶ μέντοι σιδηροῖς ἐχράνατε τοῖς
»ὀδοῦσι«. τί δῆτα, ὦ πανοῦργε; ποῦ γῆς σαυτὸν εἶναι νῦν ὁμολο- 20
»γεῖς; ἐκεῖ δηλονότι· κατέχω γάρ σου τὰ γράμματα, ἃ τῷ τῆς μανίας
»καλάμῳ πρός με διεχάραξας, ἐν οἷς φῂς πάντα τὸν Λίβυν δῆμον
»σύμψηφον εἶναί σοι πρὸς σωτηρίαν δήπου. εἰ δὲ οὐ φήσεις ταυτὶ
»οὕτως ἔχειν, μαρτύρομαι ἤδη τὸν θεὸν ἢ μὴν ἀρχαιότατον τῆς Ἐρυ-
»θρᾶς πυκτίον, Ἑλληνικῇ συντεταγμένον γλώττῃ, εἰς Ἀλεξάνδρειαν
»ἀποστέλλειν, ὡς ἂν θᾶττον ἀπόλοιο. εἶτα σὺ ἀναμάρτητος, ὦ 21
»δικρανοφόρε; εἶτα οὐ σαφῶς ἀπόλωλας, ὦ ἄθλιε, τοιούτῳ δεινῷ
»περιεστοιχισμένος; ἴσμεν, ἴσμεν σου τὸ ἐγχείρημα· ποία φροντίς, ποίων
»σε θράττει δέος, οὐ λέληθεν ἡμᾶς, ὦ δύστηνε καὶ ταλαίπωρε. ὦ
»τῆς ἀμβλύτητος τῶν σῶν φρενῶν, ὃς οὐδὲ τὴν νόσον καὶ τὴν ἀμη-
»χανίαν τῆς σεαυτοῦ ψυχῆς ἀναστέλλεις· ὦ ἀνόσιε, ὃς τὴν ἀλήθειαν
»ποικίλοις διορύττεις λόγοις, καὶ τοιοῦτος ὢν οὐκ αἰσχύνῃ ἡμᾶς ψέ-

6 vgl. Orac. Sibyll. III 323ff

A¹H V¹P³ M²P¹P² Athan. B R

1 *οὖν* > V¹ *δὴ οὖν* ∾ Athan. | *ὦ* > M²P¹P² **2** *σαυτοῦ* M²P¹P² Athan. | viell. *ἀπόνοιαν* A¹ **4** *ἵλεως* Athan. R | *παρὰ σοῦ*] *παροῦσαν* V¹P³ | *ἐκ* > HP² **6** am Rand *γραπτέον ἐρυθραίας* H, *ἐρυθραίᾶς* P³ (die Corr. von späterer Hd.) *Ἐρυθραίας* Athan. **7** *παράλοις* Athan. **8** *χωρίοις* M²P¹P² | *τοῦ δήμου* Athan. **10** *ἀναγκασθείσῃ* V¹ | *τε* > H nachträglich eingefügt M² **11** *δοθήσεται* H *σοὶ* Athan. | *ἀποκλινῆς* P² | *ἀποκλίνει* Athan. B (R unleserlich) **12** *γὰρ*] *δὲ* P² *οὐρανῶν* P³ | *ἀνθ' ὧν* A¹ | *ἀνασπάσαι*] *ἀναπᾶσαι* H **14** *νῦν* > HM²P¹P² **16** *διαχαράξας* Athan. R **18** *ἢ μὴν* Athan.] *ἡμῖν* HSS **18f** *ἐρυθραᾶς* P³ (spätere Hd.) *Ἐρυθραίας* Athan. B *Ἐρυθρέας* R **20** *ἀποστέλλει* H | *ἀπόλλοιο* P³ Athan. B, *ἀπόλλοιο* P² Athan. R (nur daß hier das erste *λ* ausradiert ist) **21** *δικρανοφόρε* = *furcifer vgl. Balfor. und E. Schwartz Gött. Nachr. 1904, 393* **22** *ἴσμεν*² > P²P³ **23** *οὐ* > Athan. **25** *ἀναστέλλεις* (*du unterdrückst*) HSS *ἀναστένεις* Athan. **26** *ποικίλλοις* M²P¹P²

›γων καὶ νῦν μὲν ἐλέγχων, ὡς γε οἶει, νῦν δ' αὖ πάλιν νουθετῶν,
›ὡς πίστει καὶ λόγοις ὑπερφέρων παρ' οἷον δῆτα οἱ ἄθλιοι ἐπικου-
›ρίαν ἑαυτοῖς πορίζεσθαι γλίχονται· καίτοι οὐδὲ συγγίνεσθαι τῷ 22
›τοιούτῳ ἐρχῆν, οὐδὲ ὅλως αὐτὸν προσφθέγγεσθαι, πλὴν εἰ μή τις
›ἐν τοῖς ὑπούλοις τούτου ῥήμασι τὴν τοῦ ὀρθῶς βιοῦν ἐλπίδα τοῖς
›μετρίοις ἀποκεῖσθαι οἴεται. ἀλλ' οὐκ ἔστι τοῦτο, πολλοῦ γε δεῖ. 23
›τὸ δὲ ἀληθές, ὦ τῆς ὑμετέρας ἀνοίας, ὅσοι τούτῳ συναναμίγνυσθε,
›τίς ἄρα οἶστρος ὑμᾶς τῆς χαλεπῆς τούτου γλώττης καὶ τῆς ὄψεως
›ἀνασχέσθαι κατηνάγκασεν;
›Εἶεν· ἀλλ' ἐπ' αὐτὸν ἤδη σε βαδιοῦμαι τῷ λόγῳ, ὦ τὴν μὲν 24
›ψυχὴν ἄφρον συ, τὴν δὲ γλῶτταν στωμύλε, ἄπιστε δὲ τὰς φρένας,
›δὸς δή μοι τοῦ λόγου οὐκ ἀμφιλαφές τι λέγω καὶ ἱππήλατον πεδίον,
›ἀλλ' οὖν κύκλον γε εὐπερίγραφον, μὴ σαθρὸν μόνον, ἀλλ' ἐρρωμένον
›τε καὶ στερρὸν τῇ φύσει, ὦ ἀνόσιε δῆτα καὶ κάκιστε καὶ κρυψίνου.
›ἐξάγομαι γὰρ ταῦτα λέγειν· μᾶλλον δὲ βρόχον ἤδη σοι περιάψας καὶ
›συμποδίσας τῷ λόγῳ εἰς μέσους σε καταστήσω, ὡς ἂν πᾶς ὁ δῆμος
›τὴν σὴν καταμάθῃ φαυλότητα. ἐπ' αὐτὸ δὲ πορεύσομαι ἤδη τὸ 25
›πρᾶγμα. νενιμμέναι δήπουθέν εἰσιν αἱ χεῖρες· προσίωμεν ταῖς εὐχαῖς·
›ἐπικάλεσαι δὴ τὸν θεόν· μᾶλλον δὲ μικρὸν ἐπισχών, εἰπέ μοι, ὦ
›θερμότατέ συ, τίνα θεὸν ἐπικαλέσῃ πρὸς βοήθειαν; ἀλλὰ γὰρ ἡρε-
›μεῖν οὐ δύναμαι. ὦ τῶν πάντων ἔχων τὸ κῦρος δέσποτα, ὦ τῆς 26
›μονήρους δυνάμεως πάτερ. διὰ τουτονὶ τὸν ἀνόσιον ὀνείδη τε καὶ
›λύπας καὶ μέντοι καὶ τραύματα καὶ ὀδύνας ἡ σὴ ἔχει ἐκκλησία.
›Ἄρειός σοι τόπον ἤδη προσαρμόζει καὶ μάλα γε εὐφυῶς, ἐφ' οὗ
›καθιζάνων οἶμαι σύνοδον ἑαυτῷ ἢ παῖδα τὸν Χριστὸν τὸν σὸν τὸν
›ἐκ σοῦ τὸν τῆς ἡμετέρας ἐπικουρίας ἀρχηγέτην θέσεως νόμῳ περι-

5 f vgl. Socr. I 9, 16 p. 64 — **18** vgl. Matth. 27, 24 — **24 ff** vgl. E. Norden Agnostos Theos 23 f

A¹H V¹P³ M²P¹P² Athan. B R

1 *μὲν* + *γε* M²P¹P² **2** *παρ' οἷον* Athan.] *πὰρ οὗ* (corr.?) A¹ *περὶ οὗ* HM²P¹P²V¹P³ (wo aber in *παρ'* von d. späteren Hd. corr.) **5** *τούτοις* M²P¹P² **6** *μετρίοις* Athan. *μέτροις* HSS | *γε* + *καὶ* M²P¹P² | *δεῖ*] *δεὶ* (so! viell. aus *δή*) A¹ *δοκεῖ* (am Rand *καὶ δεῖ*) M² *δή* Athan. R **7** *ἀνοίας*] *διανοίας* M²P¹P² **8** *οἶστρος*] *ἶστρος* H (vgl. 50, 14) | *ἡμᾶς* H *ὑμᾶς* (aber wohl *υ* aus *η* corr.) P³ > Athan. B **10** *εἶεν* > HV¹ **12** *τῷ λόγῳ* HM²P¹P² **13** *κύκλον* Athan. *κύκλῳ* HSS **14** *καὶ*¹ > V¹ | *τῇ* und *καὶ*² nicht zu lesen A¹ | *καὶ*³ > Athan. B **15** *λέγων* H **16** *μέσον* H **18** *προσίωμεν* P³ **19** *δεῖ* H **20** *θερμότατε wohl zu erklären aus der Verschreibung calidissime statt callidissime der Vorlage; s. E. Schwartz Götting. Nachr. 1904, 394* **21** *δέσποτα τὸ κῦρος* ∾ A¹ | *ὦ*² > Athan. **23** *λύπας*] *μώλωπας* Athan. B **24** *ἀφυῶς* H **25** *ἢ* > A¹ *παῖδα* nach *σὸν* ∾ A¹ **26** *τὸν* > A¹ **26 f** *περιπεποίηται* Athan.

»ποιεῖται καὶ ἴσχει. ἐπάκουσον, ἀντιβολῶ σε, τῆς θαυμασίας πίστεως. 27
»σὲ τὴν κατὰ τὸν τόπον κινεῖσθαι, δέσποτα, κίνησιν οἴεται. σὲ τῆς
»ἀφωρισμένης καθέδρας κύκλῳ περιγράφειν τολμᾷ. ποῦ γὰρ οὐκ ἔστιν
»ἡ σὴ παρουσία; ἢ ποῦ τὴν σὴν οὐ πάντες ἐνέργειαν ἐκ τῶν ἐπὶ
»πάντα σου διηκόντων νόμων αἰσθάνονται; πάντα γὰρ αὐτὸς περι-
»έχεις, καὶ ἔξω σοῦ οὔτε τόπον οὔτε ἄλλο οὐδὲν ἐπινοῆσαι θέμις.
»οὕτως ἡ σὴ δύναμις μετ' ἐνεργείας ἐστὶν ἄπειρος. σὺ μὲν δὴ ἐπά-
»κουσον, ὁ θεός, ὑμεῖς δὲ πᾶς ὁ λαὸς προσέχετε τὸν νοῦν. ὁ γὰρ 28
»ἀναίσχυντος οὗτος καὶ ἀχρεῖος, ὁ ἐπ' ἄκρον μοχθηρίας τε καὶ ἀνο-
»μίας ὁμοίως ἐληλακὼς εὐλάβειαν σκήπτεται. »ἄπαγε«, φησίν, »οὐ
»βούλομαι τὸν θεὸν ἐγὼ ὕβρεων πάθει δοκεῖν ἐνέχεσθαι· καὶ διὰ 29
»τοῦτο ὑποτίθεμαι καὶ πλάττω θαυμάσιά γε τῇ πίστει, ὡς ὁ θεὸς
»νεογενῆ καὶ νεόκτιστον οὐσίαν Χριστοῦ ποιησάμενος βοήθειαν ἑαυτῷ
»παρεσκευάσατο, ὥς γέ μοι δοκεῖ· ὃ γὰρ ἄν, φησίν, ἀπ' αὐτοῦ ἀφέλῃς,
»τοῦτο ἔλαττον πεποίηκας«. εἶτα, ὦ λυμεὼν καὶ ὄλεθρε, σοὶ τοῦτ' 30
»ἔστι πίστις; σὺ καθ' ὑπόθεσιν καὶ πλάσμα λαμβάνεις τὸν τὰ πλάσ-
»ματα τῶν ἐθνῶν κατακρίναντα. σὺ ἐπείσακτον καλεῖς καὶ ὡσπερεὶ
»καθηκόντων ὑπηρέτην τὸν ἄνευ ἐνθυμήσεως καὶ λογισμοῦ τῷ συνυπ-
»άρχειν τῇ τοῦ πατρὸς ἀιδιότητι πάντα διανύσαντα; ἐφάρμοσον νῦν,
»εἰ δὴ τολμᾷς, ἐφάρμοσον, φημί, τῷ θεῷ καὶ τὸ εὐλαβεῖσθαι καὶ τὸ
»ἐλπίζειν τὸ ἐκβησόμενον, ἔτι δὲ τὸ ἐνθυμεῖσθαι τὸ λογίζεσθαι τὸ
»σκεπτόμενον γνώμην ἀποφαίνεσθαι καὶ διαρθροῦν καὶ ὅλως τὸ τέρ-
»πεσθαι τὸ γελᾶν τὸ λυπεῖσθαι. τί τοίνυν φής, ὦ τῶν ἀθλίων 31
»ἀθλιώτερε, ὦ τῆς κακίας αὐτόχρημα μῆστορ; σύνες δή, εἰ δύνασαι,
»ὡς ἐν αὐτῇ γέ σου τῇ πανουργίᾳ μοχθηρὸς ὢν ἁλίσκῃ. »ὁ Χριστός«, 32
»φησί, »δι' ἡμᾶς πέπονθεν«. ἀλλ' ἤδη φθάσας ἔγωγε εἶπον, ὡς μορφὴ
»σώματος ἀπεστάλη. »ναί«, φησίν, »ἀλλὰ δέος μὴ δόξωμεν κατά τι
»ἐλαττοῦν«. εἶτα, ὦ τῶν θηρίων μεσίτα, ταῦτα λέγων οὐ μαίνῃ καὶ
»σαφῶς λυττᾷς; ἰδοὺ γὰρ δὴ ὁ κόσμος αὐτὸς μορφή, ἤγουν σχῆμα

16f vgl. Prov. 24, 12

A¹H V¹P³ M²P¹P² Athan. B R

2 *τὴν*] *τίς* Athan. | *τὸν* > HM²P¹P² | *τῆς*] *τίς* Athan. **4** *τῆς σῆς . . . ἐνεργείας* A¹ **6** *ἐπινοεῖσθαι* Athan. **8** *δὲ* > M² | *ὁ*³] *οὐ* V¹P³ **9** *ἄκρων* A¹ **12** *πλάττων* P¹ **13** *νεογεννῆ* P² **15** *ὀλέθριε* V¹P³ | *σοὶ* corr. aus *σὺ* P² *σὺ* Athan. **16** *τὸν*] *τὸ* M² **17** *ὡσπερεί*] *ὥσπερ* V¹ Athan. B, *ὡς περὶ* P³, *ὡς ἐπὶ* Athan. R **18** *ἐνθυμήσεων* HM²P¹P² **18f** *συνάρχειν* A¹M²P¹P² **20** *φημί* > V¹ | *εὐλαβεῖσθαι* + *καὶ τὸ φοβεῖσθαι* V¹ **24** *μῆστορ*] *νέστορ* Athan. **25** *ἁλίσκῃ* M²P¹P² Athan. **26** *ἀπέθανεν* aber darüber mit roter Tinte *πέποθεν* (so!) V¹ | *μορφὴ* H Athan. *μορφῇ* d. übr. HSS **27** *ἐπεστάλη* P³ **28f** *σαφῶς καὶ* M²P¹P² **29** *ἰδοὺ—μορφὴ* > V¹ | *ἤγουν* A¹ *ἤτουν* M²P¹ Athan. R *εἴτουν* d. übr. HSS

»τυγχάνει ὤν, καὶ οἱ ἀστέρες γε χαρακτῆρας προβέβληνται, καὶ ὅλως »τὸ πνεῦμα τοῦ σφαιροειδοῦς τούτου κύκλου εἶδος τῶν ὄντων τυγ»χάνει ὂν καὶ ὥσπερ μόρφωμα. καὶ ὅμως ὁ θεὸς πανταχοῦ πάρεστι. »ποῦ τοίνυν εἰσὶν ἐν τῷ θεῷ αἱ ὕβρεις; ἢ κατὰ τί ὁ θεὸς ἐλαττοῦ»ται; ὦ πατροκτόνε τῆς ἐπιεικείας σύ, λόγισαι δὴ οὖν ἐκ σαυτοῦ 33
»τεκμαιρόμενος καὶ ἐνθυμήθητι, εἰ ἁμάρτημα εἶναι δοκεῖ, τὸ ἐν Χριστῷ »παρεῖναι τὸν θεόν. ἐκεῖνος μὲν οὖν κατεῖδε τὴν ἀτιμίαν τοῦ λόγου »καὶ τὴν τιμωρίαν οὐ βραδέως ἐπήγαγε. χωρὶς δὲ τούτων καθ' ἑκά»στην δήπουθεν ἡμέραν ἁμαρτήματα ἐν τῷ κόσμῳ γίνεται· καὶ ὅμως »ὁ θεὸς πάρεστι καὶ τὰ τῆς δίκης οὐχ ὑστερίζει. τί οὖν παρὰ τοῦτο »ἐλαττοῦται εἰς τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως, εἰ τὰ πανταχοῦ »διαισθάνεται; οὐδέν, οἶμαι. ὁ μὲν γὰρ τοῦ κόσμου νοῦς διὰ τοῦ 34
»θεοῦ· δι' αὐτοῦ πᾶσα διαμονή, δι' αὐτοῦ πᾶσα δίκη· ἡ δὲ τοῦ Χριστοῦ »πίστις ἀνάρχως ἐξ αὐτοῦ. ὅλως δὲ θεοῦ νόμος ἐστὶ Χριστός, δι' »αὐτοῦ τὸ ἄπειρον ἅμα καὶ ἀτελεύτητον ἔχων.

»Ἀλλὰ γὰρ σὺ κατὰ σεαυτὸν ἐννοῶν φαίνῃ. ὦ τῆς μανίας λίαν· 35
»περίτρεψον νῦν εἰς τὴν σαυτοῦ ἀπώλειαν τὸ τοῦ διαβόλου ξίφος. »ὁρᾶτε δή, πάντες ὁρᾶτε, ὡς γοερὰς ἤδη προΐσχεται φωνὰς τῷ τοῦ »ἔχεως ἐνισχημένας δήγματι, ὡς αἱ φλέβες αὐτοῦ καὶ σάρκες τῷ ἰῷ »ἐγκατειλημμέναι, δεινὰς ἀνακινοῦσιν ὀδύνας, ὡς διερρύηκεν αὐτοῦ τὸ »σῶμα πᾶν κατισχνωθέν — αὐχμοῦ τε καὶ ῥύπου καὶ θρήνων καὶ ὠχριά»σεως καὶ φρίκης καὶ μυρίων τε γέμει κακῶν καὶ δεινῶς κατέσκληκεν — »ὡς εἰδεχθὲς καὶ κατάρρυπον τὸ τῆς κόμης δάσος, ὡς ὅλος ἠμιθνὴς »καὶ ἐξασθενῶν ἤδη τὸ βλέμμα, ὡς ἄναιμον τὸ πρόσωπον καὶ ὑπὸ »μερίμνης ἐκτετηκός, ὡς ὁμοῦ πάντα εἰς αὐτὸν συνδραμόντα. οἶστρος »μανία τε καὶ ματαιότης, διὰ τὸ χρόνιον τοῦ πάθους ἄγριόν τε καὶ »θηριώδη πεποιήκασιν. αὐτίκα οὐδὲ ἐπαισθανόμενος οὗ δὴ κακοῦ 36
»τυγχάνει ὤν »αἴρομαι«, φησίν, »ὑφ' ἡδονῆς καὶ πηδῶ γε σκιρτῶν ὑπὸ »χαρᾶς καὶ πτεροῦμαι«. καὶ πάλιν νεανικῶς γε λίαν »εἶεν«, φησίν,

A¹H V¹P³ M²P¹P² Athan. B R

1 *χαρακτῆρες* Athan. B | *προβέβληνται*] *καὶ βέβληνται* H **3** *ὤν* P³ **5** *ἐξ αὐτοῦ* Athan. **6** *ἁμάρτημα* + *τοῦτ'* Athan. | *εἶναι* nachträglich eingefügt P² **8** *οὐ*] *οὖν* H **9** *καὶ* > M²P¹P² **10** *παρὰ τοῦτο* > HM²P¹P² **11** *εἰς*] *εἰ* Athan. | *τὸ* > M² | *αὐτοῦ τῆς* ∾ Athan. | *εἰ* > Athan. **13** am Rand *οὐσί*" P³ **14** *ὅλος* Athan. **17** *περίστρεψον* Athan. **18** *πάντα ὁρᾶτε* M²P¹P² | *τῷ*] *τὸ* M²P¹V¹P³ (wo aber corr. in *τῷ*) **19** *ἔχεος* P³ *ὄφεως* Athan. B | *ἐνισχημένος* H Athan. B **21** *ἀχμοῦ* H **22** *τε* durch Rasur getilgt Athan. R **23** *κόσμης* M² | *ὅλως* A¹M² *ὅλον* P² **25** *μερίμνης*] *ῥίμνης* P³ (von späterer Hd. in *ῥίμνης* od. *ῥύμης* corr.) | *πάντα εἰς* + *ἐκτετηκός· ὡς ὁμοῦ πάντα εἰς* P³ | *ἑαυτὸν* M² **25f** *οἶστρος μανία*] *οἰστρᾷ ὦ μανία* und am Rand von 1. Hd. *ἴσως· οἶσθα* P³ **27** *θηριώδη* + *σε* V¹P³ **27** *κακοῦ* > H **28** *γε*] *τε* M² **29** *γε λίαν* > P³ | *εἶεν*] *εἴ* P²

»»ἀπωλόμεθα«. τοῦτο μέν γε καὶ ἀληθές ἐστι· σοὶ γὰρ μόνῳ ἡ κακία 37
τὰς παρ' ἑαυτῆς σπουδὰς δαψιλῶς κεχορήγηκε. καὶ ὃ πολλῆς ἐώνητο
τιμῆς, τοῦτό σοι ῥᾷστα δεδώρηται. φέρε δὴ νῦν εἰπέ, ποῦ τὰ σεμνά
σού ἐστι παραγγέλματα; ἀπόνιψαι δῆτα τῷ Νείλῳ σαυτόν, εἰ οἷόν τε,
ὦ ἀτόπου γέμων ἄνθρωπε ἀναισθησίας· καίτοι σύ γε τὴν οἰκουμένην
ἅπασαν τοῖς αὐτοῦ ἀσεβήμασι διαταράξαι ἐσπούδακας. ἆρά γε συν- 38
ίης ὡς ἅπαντα ἤδη ὁ τοῦ θεοῦ ἄνθρωπος ἐγὼ ἐπίσταμαι; ἀλλὰ
γὰρ ἀπορῶ, πότερον μένειν ἢ ἀπιέναι δεῖ· οὔτε γὰρ βλέπειν εἰς τοῦτον
ἔτι δύναμαι, καὶ τὴν ἁμαρτίαν ἐπαισχύνομαι, ὦ Ἄρειε. ἡμᾶς μὲν εἰς
φῶς κατέστησας, σαυτὸν δὲ εἰς σκότος, ὦ ταλαίπωρε, κατέβαλες.
τοῦτό σοι τῶν πόνων πέφηνε τὸ τέλος.

Ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι· πλῆθος εἶναι φῆς τῶν περὶ σὲ ἁλω- 39
μένων. εἰκός, οἶμαι, καὶ δέχου γε τούτους, δέχου, φημί· λύκοις γὰρ
ἑαυτοὺς καὶ λέουσι βρωθησομένους ἐκδεδώκασι. πλὴν ἀλλὰ καὶ τού-
των ἕκαστος προσθήκη κεφαλαίων δέκα καὶ τελέσμασι τούτων πιεσθεὶς
αὐτίκα δὴ μάλα ἱδρώσει, ἐὰν μὴ τὴν ταχίστην ἐπὶ τὴν σωτήριον
θραμὼν ἐκκλησίαν τὴν τῆς ἀγάπης εἰρήνην τῷ φίλτρῳ τῆς ὁμονοίας
ἐπανέλῃται. οὐδὲ γὰρ δὴ ὑπὸ σοῦ λοιπὸν ἐξαπατηθήσονται ἐπὶ 40
πονηρᾷ συνειδήσει κατεγνωσμένου, οὐδ' ἀνέξονται τέλεον ἀπολέσθαι
ταῖς μαραῖς σου ζητήσεσιν ἐμπλακέντες. σαφῆ καὶ γνώριμα πᾶσι
πρὸς γοῦν τὸν ἑξῆς χρόνον τὰ σά ἐστι σοφίσματα· καὶ μὴν οὐδὲ
αὐτὸς ἀνῦσαί τι δυνήσῃ, ἀλλὰ μάτην σχηματιῇ, ἐπιείκειάν τε καὶ
πραότητα λόγων καθυποκρινόμενος καὶ ἁπλότητος ὡς εἰπεῖν προσ-
ωπεῖον ἔξωθεν περιτιθέμενος. μάταιον ἔσται σου τὸ ὅλον τέχνασμα·
αὐτίκα γάρ σε ἡ ἀλήθεια περιστήσεται, αὐτίκα σου τὰς φλόγας ὁ
τῆς θείας δυνάμεως ὡς εἰπεῖν ὄμβρος ἀποσβέσει. καὶ μέντοι καὶ 41

A¹H V¹P³ M²P¹P² Athan. B R

1 *ἀπολώμεθα* A¹HM²P¹P² **2** *ἐωνεῖτο* Athan. R *ἐωρεῖτο* B **3** *δέδωκε* Athan. **4** *ἐστι*] *νῦν* P² **4** *ἐπαγγέλματα* H | Das Richtige bei Athan. Corruptelen in al'en Gel.-HSS: *ἀπόνιψαι δῆτα τῶν ὧν ἥλως σαυτὸν* A¹ *ἀπόνιψαι δὴ τὰ τῶν ὧν εἵλως σαυτὸν* H *ἀπόνιψαι δὴ τὰ τῶν ὧν ἥλως σαυτὸν* V¹P³M²P¹P² | *τε*] *τι* H **5** *γέμον* P³ **6** *σαυτοῦ* M²P¹P² **7** *ἐξεπίσταμαι* Athan. **8** *τοῦτον*] *τοσοῦτον* V¹P³ **9** *ὦ* > H | *Ἄρειε* + *δῆτα Ἄρειε* Athan. **11** *σοι*] *σου* Athan. **12** *ἀλώμενον* Athan. **13** *γε* > HM²P¹P² **14** *καὶ λέουσιν ἑαυτοὺς* ∾ V¹ **15** *κεφαλαίων* Athan. *κεφαλῶν* HSS | *καὶ* > M² | *πεισθεὶς* H **16** *μάλα*] *μᾶλλον* A¹ | *ἱδρώσῃ* H *δρώσει* (von späterer Hd. corr. in *δώσει δίκην*) P³ *ἱδρώσειεν ἄν* Athan. **18** *οὐδὲ*] *οὐ* V¹ Athan. B **19** *κατεγνωσμένου* Athan.] *κατεγνωσμένοι* HSS **22** *σχηματιῇ* M²P¹P² Athan. B *σχήματι ᾗ* A¹H *σχηματιεῖ* V^{1}_{H} (die Correctur mit roter Tinte) *σχιματεῖν* (corr. in *σχηματεῖν*) P³ *σχηματιεῖ* Athan. R **22f** *ἐπιεικεία καὶ πραότητι* A¹ **26** *θείας* > Athan.

»τοὺς ἑταίρους καὶ ὁμογνώμονάς σου ἐνόχους ἤδη τῇ βουλῇ γενομέ»νους αἱ τῶν δημοσίων λειτουργημάτων καταλήψονται φροντίδες, ἐάν »γε μὴ τὴν ταχίστην ἀποφυγόντες τὴν πρὸς σὲ συνουσίαν τὴν ἀδιά»φθορον ἀνταλλάξωνται πίστιν. σὺ δέ, ὁ σιδηρόφρων ἀνήρ, δεῖγμά 42
»μοι δὸς τῆς σῆς προαιρέσεως, εἰ σαυτῷ πιστεύεις, καὶ ἔρρωσαι τῷ »βεβαίῳ τῆς πίστεως καὶ καθαρὰν ὅλως ἔχεις συνείδησιν. ἦκε πρὸς »ἐμέ, ἦκε. φημί, πρὸς θεοῦ ἄνθρωπον· πίστευσον, ὡς ταῖς ἐμαυτοῦ »πεύσεσι διερευνήσομαί σου τὰ ἀπόρρητα τῆς καρδίας· κἂν μέν τι »μανικὸν ἐνεῖναι δόξῃ, τὴν θείαν ἐπικαλεσάμενος χάριν, παραδειγμα»τός σε κάλλιον ἰάσομαι. ἐὰν δὲ ὑγιαίνων τὰ κατὰ ψυχὴν φανῇς, τὸ »τῆς ἀληθείας φῶς ἐπιγνοὺς ἐν σοί, καὶ τῷ θεῷ χάριν εἴσομαι καὶ »ἐμαυτῷ τῆς εὐσεβείας συνησθήσομαι«.

Καὶ ἄλλη χειρί· ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀγαπητοί. 43

Διὰ Συγκλητίου καὶ Γαυδεντίου μαγιστριανῶν ἐκομίσθη καὶ ταῦτα, ὅτε Πατέριος ἦν ἔπαρχος Αἰγύπτου, καὶ ἀνεγνώσθη ἐν τῷ παλατίῳ.

Anhang.

I.

Κατὰ Εὐσεβίου καὶ Θεογνίου.

»Κωνσταντῖνος Σεβαστὸς τῇ καθολικῇ ἐκκλησίᾳ Νικομηδέων.
»Τὸν δεσπότην θεὸν δηλαδὴ καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαν»τες ἴστε, ἀγαπητοὶ ἀδελφοί, πατέρα τε καὶ υἱὸν εἶναι. πατέρα

14f vgl. E. Schwartz Gött. Nachr. 1904, 336

